# ΨΥΧΟΛΟΓΙΑ

## ΚΑΤΑ ΔΑΜΙΡΩΝΑ

*Καθηγητὴν τῆς Δογματικῆς Φιλοσοφίας ἐν Σορβόννῃ.*

---

Μεταφρασθεῖσα καὶ διασκευασθεῖσα ἐπὶ τὸ εὐσυνοπτότερον, καὶ πολλαῖς ὑποσημειώσεσι πλουτισθεῖσα

ὑπὸ

**Κ. ΕΥΘΥΒΟΥΛΟΥ,**

Καθηγητοῦ τῆς Φιλοσοφίας ἐν τῇ κατὰ Βεβὲκ τοῦ Βοσπόρου Μεγάλῃ τοῦ Γένους ἡμῶν Σχολῇ.

2489



Τῆς περιοδικῆς ἐκδόσεως Μέρος τὸ Εον.

**ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ,**

ΤΥΠΟΙΣ Ι. ΛΑΖΑΡΙΔΟΥ.

—

**1848.**

## ΚΕΦΑΛΑΙΟΝ Β^ον.

*Περὶ τοῦ παθητικοῦ, ἢ τῆς δυνάμεως τοῦ χαίρειν, τοῦ λυπεῖσθαι κτλ.*

—

### 1^ον. *Περὶ τοῦ παθητικοῦ θεωρουμένου γενικώτερον.*

§. 207. Α^ον. *Τί τὸ καθόλου ὑποκείμενον τῆς παθήσεως, καὶ τίνα τὰ μετὰ τὴν ἀντίληψιν αὐτοῦ φαινόμενα.—Περὶ τῆς χαρᾶς, τοῦ ἔρωτος καὶ τῆς ἐφέσεως.—Περὶ τῆς λύπης, τοῦ μίσους καὶ τῆς ἀποστροφῆς.* — Ὅτι μὲν ἤδη καιρὸς ἅψασθαι τῆς περὶ τὴν πάθησιν ἐρεύνης, εἴρηται ἡμῖν ἐν τοῖς πρόσθεν· (α) ἡ γὰρ δύναμις

(α) Πάθησις (passion) ἐστιν ἡ ἰδιότης τῆς ψυχῆς, καθ' ἣν παθαίνεται καὶ διατίθεται εἰς ἡδονήν, λύπην, ἔρωτα, μῖσος κτλ. Ἐννοητέον δὲ τὴν λέξιν ἐνταῦθα ὡς ἔστι γενικώτατα, μηδένα ἴδιον βαθμὸν ἢ τρόπον συνεμφαίνοντας τῷ αἰσθητικῷ τῆς ψυχῆς μορίῳ. Καὶ προειλόμεθ' ἂν μᾶλλον τὴν λέξιν Αἴσθησιν ἢ Αἰσθητικότητα (sensibilité), ὡς ἄλλοι ποιοῦσιν, εἰ μὴ ἐξιδίαστο τὸ αἰσθάνεσθαι ἐπὶ τῆς κατ' αἴσθησιν γνώσεως, (connaissance sensible). Ἴσως δ' ἂν ἁρμόσειε μᾶλλον τὸ ἐμπρόθετον ἐπαίσθησις κτλ. ὡς ἐμφαῖνον τὴν κίνησιν ἢ διάθεσιν τὴν ἑπομένην μάλιστα τῇ αἰσθήσει. Λέγω δὲ μάλιστα, ὅτι τὰ πάθη οὐ μόνον ἡ ἔξωθεν γνῶσις κινεῖ, ἀλλὰ καὶ ἡ τῶν νοητῶν κατάληψις· εἰ καὶ τὸ αἰσθάνομαι παρ' Ἕλλησι γενικωτάτην ἔχει σημασίαν, οὐ μόνον ἐπὶ παντὸς τρόπου τοῦ νοεῖν λαμβανόμενον, ἀλλὰ καὶ ἐπ' αὐτῶν τῶν ἐντεῦθεν ἐπιγινομένων παθημάτων. Τὸ δ' αἴτιον ἑκατέρας τῆς συγχύσεως οὐ λίαν ἐστὶ δυστέκμαρτον· ἅμα γὰρ τῇ γνώσει τινὸς πράγματος, νῦν μὲν μᾶλλον, νῦν δ' ἔλαττον ἀεὶ παθαινόμεθα, ὥστε δοκεῖν ἓν εἶναι τὸ αἰσθάνεσθαι καὶ τὸ κινεῖσθαι ἐντεῦθεν πρὸς ἡδονὴν ἢ λύπην· ἃ δὲ λέγομεν ἀδιάφορα, τουτ. μηδεμίαν ἐπαίσθησιν ἡμῖν παρέχοντα, καὶ αὐτὰ διατίθησι μέν, ἀλλ' ἀμυδρότερον· διὸ καὶ ἡ ἐνέργεια αὐτῶν συμπνίγεται ἐν σφοδροτέραις ἄλλαις ἐπαισθήμασι. Συγχέομεν δὲ καὶ πᾶσαν νόησιν πρὸς τὴν αἴσθησιν, ὅτι διὰ φαντασίας αἰσθητικῆς ἢ παραστατικῆς, πᾶσα ἁπλῶς περαίνεται νόησις· καὶ γὰρ τὴν ψυχήν, τὸν Θεόν, τὸν χρόνον κτλ. νοοῦντες, ἀκραιφνῶς μάλιστα νοητὰ ὄντα, φαντασίαν τινὰ ἀεὶ νοθεύουσαν τὸ ἁγνὸν τῆς τοιαύτης νοήσεως ὑποσυνάπτομεν, καὶ οὐκ ἔχομεν ἄλλως ποιεῖν, τὴν ἐκ τοῦ σώματος ἀσθένειαν καὶ ἀμαύρωσιν περικείμενοι. Περὶ τούτου ὅρ. Ἀριστ. ἐν τῷ περὶ ψυχ. ὅρα δὲ κἀνταῦθα ἐκ τῆς πρόσθεν §. 9. καὶ §. 26 καὶ §. 70 καὶ Σχ. 186. Μετιτέον δὲ τῷ δυναμένῳ καὶ τὸ περὶ φαντασίας τετυπωμένον ἐν τῷ 2ῳ ἀριθμῷ τόμ. Αῳ. τοῦ περιοδικοῦ συγγράμματος τῆς



SISMANOGLIO MEGARO

αὕτη τῆς μὲν *νοήσεως* ἑξῆς ἔχεται· τῆς δ' *ἐλευθερίας* φύσει προηγεῖται. Ἀλλὰ πρῶτον, καθάπερ ἐποιήσαμεν καὶ ἐν τῇ νοήσει, ζητήσωμεν τί τὸ *περὶ ὃ* ἡ πάθησις στρέφεται, τί τὸ *ὑποκείμενον* τὸ διεγεῖρον αὐτὴν καὶ διατιθὲν εἰς τὰς διαφόρους ἀλλοιώσεις ἢ τὰ ποικιλότροπα παθήματα.

§. 208. Ἁπλῶς οὖν μάλιστα αὐτὸ τοῦτό ἐςι, περὶ ὃ καὶ ἡ νόησις στρέφεται, πρᾶγμά τι δηλαδὴ οὐχ ὅτι ὑφιστάμενον, ἀλλὰ καὶ προφαινόμενον καὶ τῷ τοῦ νοὸς ὄμματι ὑποπίπτον, ὡς ὂν ἀδύνατον ἄλλως εἰσελθεῖν τι εἰς τοὺς μυχοὺς τῆς καρδίας, εἰμὴ πρότερον παραςαίη τῇ διανοίᾳ. Τίς γὰρ ποτ' ἐςὶ μηχανὴ ἀρέσκειν ἢ ἀπαρέσκειν, καθηδύνειν ἢ ἐνοχλεῖν τὸ λανθάνον καὶ *ὅτι ἔστι*, καὶ *ὅτι τοιόνδε τί ἐστι*; κατὰ γὰρ τὸ λεγόμενον, *οὐδεμία ἔφεσις τοῦ ἀγνοουμένου*. Ἀλλὰ τὸ τοιοῦτον οὐκ ἔςαι πάντως ἐναργέστατον καὶ καταφανὲς, ὥσπερ ἂν ἀπαιτοίη ὁ φιλοσοφικὸς λόγος καὶ ἡ ἐπιστημονικὴ ἀκρίβεια. Ἔςι γὰρ ὁμοίως εὐδαιμονεῖν πως ἢ κακοδαιμονεῖν ἐκ τοῦ βίου καὶ τὸν ἀπαιδευτότατον τῶν ἀνθρώπων. Οὐ γὰρ ἡμῖν λέγεται νῦν περὶ πραγμάτων οὕτω που ἀφανῶς ἐνυπολανθανόντων, ὥστε ἀδύνατον εἶναι ταῦτα κατιδεῖν τὸν μὴ πρότερον διὰ μακρᾶς ἐρεύνης καὶ βαθείας ἀναζητήσεως διελθόντα. Καίτοι σπάνια τὰ τοιαῦτα, τὰ οὕτω δυσθήρατον καὶ δυσεύρετον ἔχοντα τὴν ἐξ ἑαυτῶν ἡδονὴν ἢ λύπην, καὶ μόνοις δὴ τοῖς λογικῶς αὐτὰ καὶ ἐπιστημονικῶς ἐξηκριβωμένοις ὄντα εὐάλωτα. Ὁ γὰρ Θεὸς εἰς μέσον προὔθηκε πᾶσι τά τε κακὰ (α) καὶ τὰ ἀγαθὰ, δι' ὧν παιδα-

Ἐλευθεροφροσύνης, (la Liberté de penser.) Τὴν αὐτὴν δὲ σύγχυσιν πάσχει ἡ πάθησις καὶ πρὸς τὴν ὑπ' αὐτῆς ὑποκινουμένην ἁπλῶς βούλησιν, ὡς ὀψόμεθα ἐν τῷ περὶ ἐλευθερίας.

Καὶ ταῦτα μὲν περὶ τῆς δυνάμεως, δι' ἣν παθητικοὶ γενόμεθα, ἣν καὶ ἔρωτα μετόπισθεν καλέσομεν μερικώτερον ὅρ. §. 298. καὶ Σχ. §. 213. χάριν δὲ ποικιλίας φραστικῆς λέγομεν συνωνύμως καὶ κίνησιν, καὶ συγκίνησιν, καὶ ἔφεσιν, καὶ ὄρεξιν, καὶ ἐπιθυμητικὸν, καὶ διάθεσιν κτλ. Τὰ δὲ ἔργα τῆς τοιαύτης δυνάμεως καλοῦμεν παθήματα, πάθη, ἐπαισθήματα κτλ.

(α) Τὸ κακὸν ἐνταῦθά ἐστι τὸ κακωτικὸν, ἢ τὸ λυπηρὸν καὶ ὑποκεντοῦν εἰς ἐνέργειαν καὶ παιδεῦον ἡμᾶς εἰς τὴν ἠθικὴν τελειοποίησιν· ὅθεν καὶ ἐν εὐεργεσίας μοίρᾳ τίθεται παρ' ἡμῖν θεόθεν. Σημειωτέον δ' ὅτι τὸ ἀγαθὸν καὶ τὸ κακὸν τρι-

SISMANOGLIO



γωγεῖται καὶ τελειοῦται ἀεὶ τὸ ἀνθρώπινον. Ἀλλ' οὐχ ἧττόν ἐςιν ἀληθὲς, ὅτι οὐδὲν πέφυκεν ὑποκινεῖν τὴν ὄρεξιν, ἢ εὐάρεστον καὶ δυσάρεστον, ἀλλ' ἢ τὸ ὁρώμενον ὑπὸ τοῦ νοὸς καὶ τὴν συνείδησιν ἡμῶν μὴ διαφεῦγον.

§. 209. Οὕτω μὲν οὖν ἐξ ἀνάγκης ἔςαι *νοητὸν*, τουτ. ληπτὸν καὶ ὁρατὸν τῇ νοήσει, τὸ μέλλον ὑποκινήσειν τὴν πάθησιν· οὐχ ἱκανὸν ὅμως τοῦτό γε, ἀλλὰ δεῖ προσεῖναι καὶ ἑτέραν τινὰ ἰδιότητα, τὴν τοῦ ἀγαθοῦ ἢ τὴν τοῦ κακοῦ· τὰ γὰρ οὐδέτερα καὶ ἀδιάφορα οὐκ ἔχει ἡμᾶς ἐξανιςᾷν τῆς πρὸς ἡδονὴν ἢ λύπην ἀπαθείας. Ἀλλὰ πόθεν προσγίνεται τοῖς πράγμασιν ἡ ποιότης ἡ τοῦ ἀγαθοῦ καὶ ἡ τοῦ κακοῦ; ὅτι μετατίθησιν ἡμᾶς καὶ μετατρέπει, συντείνοντα ἢ ἀντιτείνοντα πρὸς τὴν ἐπίτευξιν τοῦ ἀνθρωπίνου τέλους

χῶς μάλιστα λέγεται. 1ον. Ὀντολογικῶς ἢ μεταφυσικῶς, καὶ κατὰ τοῦτο οὐδὲν αὐτόχρημά ἐστι κακὸν, ἀλλὰ πάντα κατὰ τὸ μᾶλλον καὶ ἧττόν ἐστιν ἀγαθὰ, ὡς ἔργα τοῦ ἀπειραγάθου Ὄντος, καὶ φύσεώς τινος ἰδίας εὐμοιροῦντα, καὶ πρός τι τέλος ἐπειγόμενα. Μόνον δ' ἴσως τὸ ἀνύπαρκτον οὐδὲν ἀντιδιαστέλλοιτ' ἂν ὡς αὐτόκακον πρὸς τὸ ἀπόλυτον ἀγαθὸν, τὸ συνωνυμοῦν τῷ ἀπειροτελείῳ· ἀλλὰ καὶ ἕκαστον τῶν ὄντων αὐτὸ καθ' αὑτό ἐστι τέλειον καὶ αὔταρκες, ἢ ἐντελέχεια· σχετικῶς δὲ κακόν ἐστι τὸ φύσιν ἔχον χείρω τῶν ἄλλων, ὅ ἐστι τὸ ἀτελέστερον ὄν· (δεῖ γὰρ διαστέλλειν τὴν σχετικὴν ἐν τοῖς ποιήμασι τελειότητα, ἀπὸ τῆς ἀπολύτου τῆς ἐν τῷ Ποιητῇ.) 2ον. Διανοητικῶς ἢ ψυχολογικῶς, ὃ μόνον ἔνεστι τοῖς αἰσθητικῶς ἑαυτῶν ἔχουσιν, ἢ τοῖς νοητικοῖς οὖσι· συνωνυμεῖ δὲ τῇ ἡδονῇ ἢ τῇ λύπῃ. Ταῦτα μὲν δὴ ἀπροαίρετα ὅλως ἐστί· φύσει γὰρ οἰκείων τελειότητος τι μετέχομεν, καὶ τῆς ἐν ἡμῖν ἐνεργείας ἀκωλύτως ἢ μὴ προϊούσης συναισθανόμεθα. Λέγεται δὲ καὶ 3ον. ἠθικῶς ἢ προαιρετικῶς, καὶ τότε συνωνυμεῖ τῇ ἀρετῇ ἢ τῇ κακίᾳ, ἃ ἔργα ἐστὶ τῆς ἡμῶν αὐτεξουσιότητος. Κατὰ γοῦν τὴν πρώτην ἐκδοχὴν ὁ Θεὸς προὔθηκεν ἡμῖν τὰ κακὰ, τουτ. τὰ ποιήματα τὰ ἡμῖν ἀνταγωνιζόμενα καὶ ἀντιπαλαίοντα, τοὺς ἀνέμους, τὰ θηρία τοὺς ἀνθρώπους κτλ. ὧν μεστὴ μὲν ἡ γῆ, μεστὴ δὲ ἡ θάλασσα. Μηδεὶς οὖν ταραττέσθω ἐπὶ τῇ τοῦ κειμένου φράσει· οὐ γὰρ ὁ λόγος περὶ τοῦ προαιρετικοῦ ἐστιν ἀγαθοῦ, ὃ πάντως γε Θεὸς οὐ δημιουργεῖ. Καίτοι καὶ ἡ κακία ἡ ἐνέργεια, καὶ μάλιστα μετὰ νοήσεως περαινομένη, ἔχει τι ἀγαθὸν ἐν ἑαυτῇ, τὴν χρῆσιν καὶ ἀνάμιξιν τῶν ἐν ἡμῖν τελειοτήτων καὶ δυνάμεων, καὶ διὰ τοῦτο οὐκ αὐτόχρημα κακία ἐστιν· οὐδὲ γὰρ ὁ κάκιστος τῶν ἀνθρώπων δύναται ἑαυτὸν εἰς τοσοῦτον ἐξαχρειῶσαι, ὥστε πάντα τὰ ἐν αὐτῷ ἐμφυτευθέντα καλὰ ἀποξηρᾶναι παντάπασιν, ἀλλὰ διαμένει ἀεὶ δενδροξυλὰς εὐμοιροῦν καὶ ἀναβλαστάνον, καὶ καρποδοτοῦν, οὐ μέντοι γε καρποὺς ὡραίους καὶ χυμώδεις, στυφοὺς δὲ καὶ ὀμφακίας· καὶ κατὰ ταῦτα ὡς δένδρον ἄκαρπον θεωρεῖται, ἐκκοπῆς ἄξιον καὶ πυρός.

ἢ τὴν πλήρωσιν τοῦ ἐν ἡμῖν νόμου. Φύσει γὰρ ἐνεργοὶ ὄντες παντὶ τρόπῳ χρησόμεθα, ὅπως τοῦ ὡρισμένου ἡμῖν σκοποῦ εὐςοχήσωμεν. Ὅσαι μὲν οὖν αἰτίαι καὶ ἀφορμαὶ συναρήγουσιν ἡμῖν πρὸς τοῦτο καὶ βοηθοῦσι, σθένος ἐμβάλλουσαι καὶ ἰσχὺν πρὸς τελειοποίησιν, ταύτας μὲν εἶναι πιστεύομεν ἀγαθάς· ὅσαι δ' ἡμῖν ἐνίςανται ἐμποδὼν, ἀδυναμίαν ἐμποιοῦσαι καὶ ἀσθένειαν, καὶ μὴ ἐῶσαι ἐνεργεῖν ἀκωλύτως καὶ ἐξελίσσεσθαι ἐπὶ τὸ κρεῖττον, ταύτας δὲ κακὰς ἡμῖν οὔσας οὕτως ἐπιδυσφημοῦμεν. (α) Καὶ ἐπειδὴ ὁ ἄνθρωπος *δύναμίς* ἐςιν ἐνεργὸς, ἀνάγκη καὶ τὰ βοηθοῦντα αὐτῷ ἢ ἐναντιούμενα, μετέχειν τινὸς ἐνεργείας καὶ δράσεως, ταὐτὸν εἰπεῖν, *δυνάμεις* τινὰς εἶναι, ἐπικουρούσας καὶ συναντιλαμβανούσας, ἢ τοὐναντίον ἀντεπεξιούσας καὶ ἀντιδρώσας· οὐ γὰρ ἔσονται αὐτῷ ψιλαί τινες καὶ ἀδρανεῖς οὐσίαι, ἀλλὰ ζῶσαι μᾶλλον, καὶ δὴ καί τινες καὶ διανοούμεναι. Ὥστε τὰ κακὰ καὶ τὰ ἀγαθὰ, ὑφ' ὧν τυγχάνομεν παθαινόμενοι, αἰτίαι τινές εἰσιν ἀληθεῖς καὶ δραστικαὶ, αἵτινες νοὸς εὐμοιροῦσαι ἢ μὴ, ἀναμίγνυνται ἐν τῷ καθ' ἡμᾶς προορισμῷ, κατὰ ῥοῦν ἢ ἐξ ἀντιπνοίας ἡμῖν φερόμεναι. Διὸ ἐκ τῆς ἐπισκέψεως ταύτης ὧδε ἄν τις ἔχοι ὁρίσασθαι τὸ τῆς παθήσεως *ὑποκείμενον*, ὅτι ἐπιβοήθημα ἢ ἐπικώλυμά ἐςιν, ὃ κατανοοῦντες χαίρομεν φύσει ἢ ἀλγοῦμεν.

§. 210. Ἀποδόντες δὲ τί τὸ περὶ ὃ ἡ πάθησις, χωρῶμεν ἤδη καὶ ἐπὶ τὴν ἐξήγησιν τῆς ἐνδομύχου ἡμῖν ταύτης δυνάμεως. Ἀλλ' ἐπειδὴ ἐνταῦθα ὁ ὁρισμὸς ἀδυνατεῖ ἀποχρώντως δηλῶσαι τὴν φύσιν αὐτῆς, τοῖς τε ὁπωσοῦν μεμυημένοις τῆς φιλοσοφίας, τοῖς τε ἀπείροις

(α) Ἐν τοῖς μετὰ ταῦτα (§. 203) σαφέστερον ἡμῖν ἀναπτυχθήσεται ἡ διπλῆ αὕτη κατάστασις τῆς ψυχῆς, ἡ τοῦ σθένους καὶ ἡ τῆς ἀσθενείας· ὧν τὴν μὲν περιποιεῖ ἡμῖν τὸ ἀδούλωτον, τὸ ἀτάραχον καὶ ἡ ὑπεροχή· (l' indépendence, la paix, la supériorité) τὴν δὲ, τὰ ἀντικείμενα πρὸς τὰ τρία ταῦτα. Τὰ γὰρ ἀγαθὰ καὶ κακὰ οὐ πάντοτέ εἰσι δυνάμεις ἢ αἰτίαι (des forces, ou des causes), λυσιτελῶς ἢ ἀντιθέτως ἐπενεργοῦσαι εἰς ἡμᾶς· ἀλλὰ καὶ περιστάσεις ἢ καταστάσεις ἢ ἕξεις ἢ διαθέσεις· (des circonstances, des états, des situations)· ἐξ ὧν ὠφελεῖσθαι ἢ βλάπτεσθαι συμβαίνει πρὸς τὸ προκείμενον ἡμῖν τέλος.



μᾶλλον καὶ ἤδη πρῶτον τὸν οὐδὸν τῆς ψυχολογίας βαίνουσι, διὰ τοῦτο τοῦ ὁρισμοῦ ὡς τύπον τινὰ μόνον ἀφαίρετον καὶ ἀόριςον διδόντος ἀφέμενοι, τραπῶμεν ἐπὶ τὴν παρατήρησιν· ἔπειτα δ' ἔςαι ἡμῖν ῥᾷον συγκεφαλαιώσασθαι τὰ παρατετηρημένα, δραττομένους οὕτω τοῦ καθόλου διὰ τῆς ἐπαγωγικῆς ἀναλύσεως. Ἀλλ' ἕτερός τις ἀνὴρ πρὸ ἡμῶν, ὁ σοφὸς Ἰωφροὰς, ἔφθη ἐξηγησάμενος τὸ περὶ οὗ ὁ λόγος πάθος, καὶ ταῦτα ὡς ἂν ἡμῖν δόξειε δέον εἶναι τὸ πρᾶγμα γενέσθαι. Διὸ καὶ μικρὸν ὑπεκςάντες τῆς καθ' ἡμᾶς συγγραφῆς, ἐῶμεν αὐτὸν λέγειν τὸν φιλόσοφον.

§. 211. « Ἐν τοῖς ἡδέως ἢ ἀηδῶς ἡμᾶς διατιθεῖσι, τὸ μὲν ἐν ἡμῖν παθαινόμενον, τοῦτο παθητικόν ἐςιν· ἐν ἑκατέροις γὰρ τὴν ἐξ ἀλλοτρίας δυνάμεως δρᾶσιν ὑφίσταται· ἀλλ' οὐ φθάνει ἐν πείρᾳ τῆς ὑποκινήσεως καὶ προσβολῆς γινόμενον, καὶ εὐθὺς πρὸς τὴν αἰτίαν τῆς κινήσεως ταύτης ἀντενεργεῖ δι' ἑτέρας ἀντικινήσεως, ἐξ αὐτοῦ προϊούσης καὶ σαφῶς διακρινομένης ἀπὸ τῆς πρώτης ἐκείνης κινήσεως, τῆς ἔξωθεν εἰς αὐτὸ καταντώσης.

§. 212. « Ἡ δ' ἀντιδραςικὴ αὕτη κίνησις, ἣν ἀντεπιφέρει τὸ ἐν ἡμῖν παθαινόμενον, μεταβάλλει καὶ μετατρέπεται κατὰ τὴν φύσιν τῆς πρώτης κινήσεως τῆς ἔξωθεν ἐπελθούσης. Ἐὰν μὲν γὰρ τὸ πάθημα εὐάρεστον ᾖ, ἡ ἀντικίνησις φύσιν ἔχει διαςολῆς τινος καὶ διατάσεως· ἐὰν δὲ τοὐναντίον δυσάρεστον, συστολῇ τινι ἔοικε καὶ ἀνειλήσει. Ἡ γὰρ πάθησις πρὸς ἐκεῖνο μὲν διαχεῖται καὶ ἐπεκτείνεται, ἔξω οἱονεὶ προκύπτουσα ἑαυτῆς· πρὸς δὲ τοῦτο συσφίγγεται καὶ ἔνδον ὑποχωρεῖ καὶ συγκλείεται. Ἑκατέρα δὲ τούτων τῶν ἐναντίων καὶ ἀντιθέτων κινήσεων σύγκειται ἐξ ἑτέρων τινῶν ἀλληλοδιαδόχων κινήσεων, βαθμηδὸν περαινομένων καὶ ἐπαλλαττουσῶν μεταξύ. Φέρε δὴ ταύτας διαγράψωμεν, οἵας ἡμῖν ἡ ἐνδόμυχος κατέδειξε παρατήρησις. (α)

(α) Ἐνταῦθα χρώμεθα ὅροις τισὶ λαβόντες ἐκ Πλάτ. ἐν Συμποσ. 25. Προσκείσθω δὲ καὶ τὸ χωρίον τοῦ φιλοσόφου. « Ὅταν μὲν καλῷ προσπελάζῃ τὸ κυοῦν, ἵλεών τε δὴ γίγνεται, καὶ εὐφραινόμενον διαχεῖται . . . ὅταν δὲ αἰσχρῷ, σκυθρωπόν τε καὶ λυπούμενον, συσπειρᾶται, καὶ ἀποτρέπεται, καὶ ἀνείλλεται . . . » ὅπου τὸ διαχεῖσθαι ἀντιτάσσεται πρὸς τὸ, συσπειρᾶσθαι καὶ ἀνείλλεσθαι· ὅρ.

§. 213. « Ἡ γὰρ πάθησις ἡδέως μὲν διατεθεῖσα, πρῶτον μὲν διαςέλλεται καὶ διανοίγεται, οὕτως εἰπεῖν, ὑπ' αὐτὴν τὴν αἴσθησιν, πλατυνομένη πρὸς πληρεςέραν ἀπόλαυσιν τῆς περὶ αὐτὴν ἀγαθοποιοῦ ἐνεργείας· οὗτος μὲν οὖν πρῶτος βαθμός ἐςι τῆς ἀναπτύξεως τοῦ ὀρεκτικοῦ. Ἔπειτα δὲ ἡ ὄρεξις αὕτη μᾶλλον διορίζεται, τήνδε τινὰ τὴν στροφὴν καὶ ἀπεύθυνσιν τρεπομένη· ἡ γὰρ πάθησις ἐνταῦθα οἱονεὶ θύραζε πρόεισιν ἐπὶ τὴν *δίωξιν* τῆς αἰτίας τῆς ἡδέως αὐτὴν διατιθείσης· οὗτος δὴ δεύτερός ἐςι βαθμὸς τῆς τοῦ παθητικοῦ προόδου. Τέλος δὲ τήν τε *πλάτυνσιν* τῆς παθαινομένης ἡμῶν ψυχῆς ἐπὶ τῇ ἀπολαύσει τῆς εὐεργετικῆς ἔνδον ἐνεργείας, τήν τε *πρόκυψιν* ἔξω ἐπὶ τὴν δίωξιν καὶ ἀναζήτησιν τῆς αἰτίας τοῦ ἐγγενομένου ἡμῖν εὐεργετήματος, ἑτέρα τις φορὰ νῦν μὲν θᾶττον, νῦν δὲ βραδύτερον διαδέχεται, φύσει τῇ δευτέρᾳ ἑπομένη καὶ οἱονεὶ κατ' ἀνάγκην συμπληροῦσα αὐτήν. Ἡ γὰρ πάθησις οὐ μόνον ἐξορμᾶται πρὸς τὸ ἀγαθὸν, ἀλλὰ καὶ *ἔφεσιν* αὐτοῦ ἔχουσα, ἐφέλκεται τοῦτο πρὸς ἑαυτήν· ἐπιθυμεῖ γὰρ οἰκειώσασθαι τὸ ἐφετὸν καὶ εἰς ἑαυτὴν ἐξομοιώσασθαι· ἡ μὲν οὖν προηγουμένη κίνησις ἁπλῶς τὴν ἔξω προβολὴν ἐδίδου· αὕτη δὲ καὶ τὴν ἔξωθεν εἰς ἑαυτὴν ἐπάνοδον καὶ ἐπιστροφήν· καὶ δι' ἐκείνης μὲν ἡ πάθησις ἐξεπορεύετο πρὸς τὴν καθηδύνουσαν αἰτίαν· διὰ δὲ ταύτης οὐχ ἁπλῶς πρόεισι διώκουσα τὸ ἐφετὸν, ἀλλὰ καταλαβοῦσα αὐτὸ περιπτύσσεται καὶ οἴκαδε ἄγεται. Οὗτος δὴ ὁ τρίτος καὶ τελευταῖος ὅρος ἐστὶ τῆς ἀναπτύξεως τοῦ παθητικοῦ.

§. 214. « Λῃδῶς δὲ διατεθεῖσα, τριβάθμιον καὶ οὕτω κινεῖται κίνησιν, ἀλλὰ φύσει ἀντίθετον οὖσαν πρὸς τὴν προεκτεθειμένην. Ὥσπερ γὰρ ὑπὸ τὴν ἡδονὴν διεστέλλετο καὶ ὑφηπλοῦτο, ἢ διεχεῖτο καὶ ἐξετείνετο, οὕτως ὑπὸ τὴν κατοχὴν τοῦ ἄλγους συστέλλεται καὶ συσφίγγεται. Ἀλλὰ τὸ πρῶτον τοῦτο κίνημα διορίζεται μᾶλλον ἔπειτα καὶ εἰδοποιεῖται ὡς ἐκ τῆς λυπούσης αἰτίας. Εὐθὺς μὲν γὰρ περιστελλομένη ἡ πάθησις, ἀποκλείειν οἱονεὶ τὴν εἴσοδον πει-

καὶ Σχ. §. 220. Σημειωτ. δὲ ὅτι τὸ ἀνελίττειν ἐπαμφοτερίζει κατὰ τὴν σημασίαν.



ρᾶται τῇ ἀλγηδόνι. Οὐκ ἀρκετὸν ὅμως τοῦτό ἐςιν, ἀλλά τι καὶ πλέον ἐργάζεται· περιειλισσομένη γὰρ ἢ συσπειρωμένη εἰς ἑαυτὴν, φεύγει ἐνδοτάτω καὶ ἀποκρυβῆναι ἀγωνίζεται· αὕτη δὲ ἡ *φυγὴ* τοῦ ἀλγεινοῦ ἀντιδιάκειται πρὸς τὴν *δίωξιν* τοῦ ἡδέος. Ἔπειτα δ' εὐθὺς καὶ μονονουχὶ ἐν τῷ αὐτῷ χρόνῳ, ἐν ᾧ εἰσδύει εἰς ἑαυτὴν ἀποφεύγουσα τὴν λυποῦσαν αἰτίαν, καὶ ἕτερον τρίτον καὶ τελευταῖον κίνημα συναναμίγνυται, δι' οὗ ἀπωθεῖται καὶ ἀποκρούεται ταύτην, ὥσπερ ἐν τῇ ἡδονῇ τελευτῶσα ἐφείλκετο τὴν αἰτίαν.

§. 215. « Τοιαύτη μὲν οὖν ἐςιν ἡ δισχιδὴς σειρὰ τῶν κινημάτων, ἃ ἡ πάθησις ἐνδείκνυται ἐν τῇ ἡδονῇ καὶ τῇ λύπῃ. Τὰ δὲ τρία φαινόμενα, ἐξ ὧν ἑκατέρα τῶν σειρῶν τούτων σύγκειται, διακρίνεται ἀπ' ἀλλήλων τῷ καλῶς ἐπιστήσαντι, καίπερ ἄλλως συγχεόμενα καὶ συμμιγνύμενα τοσοῦτον διὰ τὴν κατὰ τὸ μᾶλλον καὶ τὸ ἧττον ταχύτητα τῆς αὐτῶν διαδοχῆς, ὥστε ἓν φύσει δοκεῖν εἶναι σύμπαντα καὶ μὴ διαφέρειν ἀπ' ἀλλήλων, παρά γε τοῖς ἐπιπολαιότερον ἐπιτρέχουσι τὰ ἐν ἡμῖν γινόμενα. Ἔστι δὲ οὐ δυσχερὲς ἀνευρεῖν ἐν μὲν τῇ διαςολῇ καὶ τῇ συστολῇ τὰ δύο ἀντίθετα πάθη τῆς *χαρᾶς* καὶ τῆς *θλίψεως*, ἅμα τοῦ ἡδέος καὶ τοῦ ἀλγεινοῦ τῆς ψυχῆς ἡμῶν ἀψαμένων. Ἐν δὲ τῇ διώξει καὶ τῇ φυγῇ, ἢ τῇ προκύψει καὶ τῇ ὑποχωρήσει, τὰ δύο ὁμοίως ἀντίθετα πάθη τοῦ *ἔρωτος* καὶ τοῦ *μίσους*, (α) ἃ πρὸς αὐτὴν τὴν αἰτίαν ἤδη ἀναφέρεται τρόπον τινὰ ὡρισμένως, τὴν ἥδιον ἢ ἀλγεινότερον ἡμᾶς δια-

(α) Ἔρως λαμβάνεται 1ον ἀντιδιεσταλμένως πρὸς τὸ μῖσος, ὡς ἐνταῦθα, ἐμφαίνων τὴν πρὸς τὸ ἡδύνον πρόκυψιν τῆς ψυχῆς, ὅς ἐστιν ὁ δεύτερος βαθμὸς τῆς τοῦ ἐπιθυμητικοῦ κινήσεως. 2ον. ἀντὶ τοῦ τρίτου βαθμοῦ, αὐτῆς δηλονότι τῆς ἐφέσεως καὶ ἐπιθυμίας. 3ον. ἀντὶ τῆς ἀμοιβαίας ἐπιθυμίας τῶν δύο γενῶν, ὃς καὶ γαμικὸς ἔρως λέγεται. 4ον. Γενικῶς ἀντὶ τοῦ παθητικοῦ· ὥστε διὰ τοῦτο καὶ μισοῦμεν, διότι ἔμφυτος ἡμῖν ἐστιν ὁ ἔρως, τουτ. ἡ πάθησις· ὁ δὲ λόγος τῆς τοιαύτης ἐκδοχῆς δοθήσεται ἐν §. 298, ὅπου πάντων τῶν παθῶν αἰτία, τῶν τε ἀδιαβλήτων καὶ τῶν ἐπιληψίμων ἡ φιλαυτία τίθεται. 5ον. Ἐπὶ πάσης ὀρέξεως φυσικῆς τε καὶ διανοητικῆς· ἔστι γὰρ ἰδεῖν τι ἔρωτος καὶ ἐν αὐτοῖς τοῖς ὀρυκτοῖς καὶ τοῖς φυτοῖς. Ὅρ. §. 296. Ὅρ. δὲ καὶ Πλάτ. ἐν Συμποσ. 12. « Ὅτι δὲ οὐ μόνον ἐστὶν (ὁ ἔρως) ἐπὶ ταῖς ψυχαῖς τῶν ἀνθρώπων . . ., ἀλλὰ . . . καὶ ἐν τοῖς ἄλλοις, τοῖς τε σώμασι τῶν πάντων ζώων, καὶ τοῖς ἐν τῇ γῇ φυομένοις, καὶ ὡς ἔπος εἰπεῖν ἐν πᾶσι τοῖς οὖσι, καθεωρακέναι μοι δοκῶ . . . »

τιθεῖσαν. Ἐν δὲ τῇ ἕλξει καὶ τῇ ὤσει, τὴν *ἐπιθυμίαν* καὶ τὴν *ἀποστροφὴν*, τὴν μὲν κατασπεύδουσαν ὅλως πρὸς τὴν πλήρη κατοχὴν καὶ ἀναπόσπαστον ἀπόλαυσιν τοῦ ἐρατεινοῦ· τὴν δὲ, οὐχ ἁπλῶς ἀφιστῶσαν ἡμᾶς ἀπὸ τοῦ λυποῦντος, ὅπερ ἦν ἴδιον τοῦ μίσους, ἀλλὰ τοῦτο ἀφ' ἡμῶν ἀποστρέφουσαν καὶ ἀποκρουομένην, ὃ δὴ κάλλιστα δείκνυσι καὶ ἡ ἐτυμολογικὴ τοῦ ὀνόματος δύναμις. (α)

§. 216. « *Χαρὰ* μὲν οὖν καὶ *λύπη*, *ἔρως* καὶ *μῖσος*, *ἐπιθυμία* καὶ *ἀποστροφή*, τοιαῦτά ἐστι τὰ συνήθη καὶ κοινολάλητα ὀνόματα, ἅπερ οὐκ ἀφυῶς παρίστησι τὴν ἀληθῆ φύσιν τῶν παθημάτων, τῶν ἐκ τῆς ἐνδομύχου ἐπισκέψεως καθιδρυμένων ἡμῖν. *Διαστολὴ* δὲ καὶ *συστολή*, *πρόκυψις* καὶ *ὑποχώρησις*, *ἕλξις* καὶ *ἀπώθησις*, τοιαῦτα ἂν εἴη τὰ ὀνόματα τὰ τῇ ἐπιστημονικῇ ὀνοματολογίᾳ μᾶλλον ἁρμόζοντα. Εἰ γὰρ καὶ κατά τι παχυλώτερά ἐστιν, *αἰσθητοποιοῦντα* τὸ νοερὸν καὶ πνευματικὸν τῶν τοιούτων ἐργασιῶν, ἀκριβῶς ὅμως ἐμφαίνειν δοκεῖ καὶ ἀσυγχύτως τό τε ἴδιον ἑκάστου τούτων τῶν κινημάτων, τάς τε οὐσιώδεις αὐτῶν ἀναφοράς. Ὃ δὲ κάλλιστον ἔχουσιν οἱ ἐπιστημονικοὶ οὗτοι ὅροι, πλεονεκτοῦντες τῶν περιλαλήτων ὀνομάτων, τοῦτό ἐστιν, ὅτι ἀποδιδόασιν ἕκαστον τῶν κινημάτων αὐτὸ καθ' αὑτὸ καὶ ἀκραιφνές, κατάδηλον καὶ ἐπαισθητὸν ἢ ψηλαφητὸν καθιστῶντες, ὡς οὐ τῆς σκέψεως ἀναμεμιγμένης πως καὶ παρανενοθευκυίας τὴν ἰδιάζουσαν αὐτοῖς φύσιν· ὅπου γε ἐν τοῖς κοινολέκτοις ἐκείνοις ὀνόμασιν οὐ μόνον αὐτὸ τὸ κίνημα δίδοται, οἷον τοῦτο προφαίνει ἡ πάθησις, ἀλλὰ πρὸς τούτῳ καί τι ἐκ τῆς σκέψεως ὑποβεβλημένον διανόημα, καὶ πολλάκις ἅμα καὶ περιστάσεις τινὲς συμβεβηκυῖαι μὲν αὐτῷ, ἀλλότριαι ὅμως οὖσαι

(α) Ἀ π ο σ τ ρ έ φ ο μ α ι κυρ. σημαίνει τὸ, ἀπό τινος στρέφω ἐμαυτόν· τουτ. φεύγω καὶ ἀποχωρῶ ἀπὸ τοῦ λυποῦντος· ἡ δὲ φυσικὴ σύνταξις τοῦ ῥήματος εἴη ἂν οὕτως, ἀ π ο σ τ ρ έ φ ο μ α ί τ ι ν ο ς. Νῦν δὲ λέγεται μᾶλλον, ἀ π ο σ τ ρ έ φ ο μ α ί τ ι, τουτ. ἀπ' ἐμαυτοῦ στρέφω τι, ἀπωθῶ, ἀποκρούω κτλ. ἢ κατὰ σύμπτυξιν καὶ συναίρεσιν ἐνεργειῶν, ἀποστρεφόμενός τινος ἀποκρούω αὐτό· οὐ γὰρ μόνον τὴν τοῦ μισοῦντος κίνησιν καὶ ἀπόστασιν ἐμφαίνει, ἀλλὰ καὶ τὴν τοῦ μισουμένου ἀποβολὴν καὶ ἀπώθησιν. Οὕτως οὖν ἡ ψυχολογικὴ ἐπιστήμη φωταγωγεῖ κάλλιστα καὶ εἰς τὴν γραμματικὴν τῶν αὐτοφυῶν συντάξεων ἀνάλυσιν.



παντάπασι. Ταῦτα δὲ τὰ κινήματα, τὰ συνιστῶντα ἑκατέραν τῶν σειρῶν, ἀδύνατον μὲν ταυτίσαι καὶ συγχέαι εἰς ἄλληλα, δῆλον ὅμως ὅτι οὕτω μάλιστα συνεπαφῆ ἐστι καὶ ἀλληλένδετα, ὥστε ἔχοι τις ἂν αὐτὰ θεωρεῖν ὡς μιᾶς καὶ τῆς αὐτῆς ἀρχῆς ἀναπτύξεις ἀλληλοδιαδόχους, ἣ τὸ μὲν πρῶτον ἀμυδρῶς καὶ ἀορίστως προδείκνυται τὴν ὁρμὴν καὶ ἔφεσιν· ἔπειτα δὲ μᾶλλόν πως ὡρισμένως καὶ εἰδοπεποιημένως. Τέλος δὲ διορίζει αὐτὴν ἐντελῶς ἐν ὑστάτῳ τινὶ ἔργῳ, ἐναργῶς τὸν οἰκεῖον σκοπὸν καταφαίνοντι, καὶ οὕτως εἰπεῖν ἀνακαλύπτοντι τὴν ἔνδοθεν ἐξ ἀρχῆς ἐμψυχοῦσαν ὁρμήν.

§. 217. « Ἡ γὰρ πάθησις εὐθὺς ἀπὸ τοῦ τῆς χαρᾶς καὶ τοῦ τῆς λύπης ὁρμήματος φέρεται πρὸς τὸ εὐάρεστον, ἀφίσταται δὲ ἀπὸ τοῦ ἀντικειμένου· ἀλλὰ τοῦτο ἁπλῶς τὸ πρῶτον ὅρμημα οὔτε πρὸς τὸ ἐφηδύνον κατεπείγει, οὔτε ἀπὸ τοῦ λυποῦντος ἀποσπᾷ· διαστολὴ δὲ μόνον καὶ συστολὴ γίνεται, ἡ μὲν ἐπιτρέπουσα τὴν εἴσοδον τῇ δράσει τοῦ ἀγαθοῦ, ἡ δὲ ἀποκλείουσα ταύτην, ὥσπερ εἰ ἡ ἔμφυτος ὁρμὴ αὐτοῦ δὴ τοῦ ἔξωθεν ἐνεργήματος ἐδράσσετο, μηδαμῶς τῆς αἰτίας στοχαζομένη. Ἀλλὰ μετ' οὐ πολὺ διακρίνασα καὶ τὴν τῆς ἡδονῆς ἢ τῆς λύπης αἰτίαν, δεικνύει εἰλικρινέστερον τὴν στροφὴν καὶ τὸν ῥοῦν τοῦ πρώτου ἐν αὐτῇ ἀορίστου ὁρμήματος. Ἤτοι γὰρ διώκει τὴν αἰτίαν τοῦ ἔνδον παθήματος, ἢ φεύγει αὐτήν. Τελευταῖον δ' ὥσπερ εἰ κατενόει ἐκεῖνο, ὅτι οὐχ ἱκανὸν φέρεσθαι μὲν πρὸς τὸ ἡδύνον, ἀποχωρεῖν δὲ ἀπὸ τοῦ λυποῦντος, τὸ μὲν περιποιῆσαι ἑαυτῇ βεβαίως, τὸ δ' ἀποκρούσασθαι ὡς ποῤῥωτάτω διατείνεται· ἐκ δὲ τούτου ἡ μὲν δίωξις καταντᾷ εἰς κίνησιν ἑλκτικήν· ἡ δὲ φυγή, εἰς ἀπωστικήν.

§. 218. « Οὕτως οὖν ἡ ἐπιθυμία καὶ ἡ ἀποστροφὴ τελειοτέρα τις ἀνάπτυξίς ἐστιν ἑκατέρα τοῦ ἔρωτος καὶ τοῦ μίσους, ἃ δὴ καὶ αὐτὰ μείζων τις ἀνάπτυξίς ἐστι τῆς χαρᾶς καὶ τῆς λύπης· μᾶλλον δὲ εἰπεῖν, ἔνθεν μὲν ἡ χαρά, ὁ ἔρως καὶ ἡ ἐπιθυμία εἰσὶν αἱ κατὰ διαδοχὴν ἀναπτύξεις τῆς αὐτῆς μιᾶς ὁρμῆς, τῆς φερούσης τὴν πάθησιν πρὸς τὴν μετὰ τοῦ ἡδύνοντος ἕνωσιν· ἔνθεν δέ, ἡ λύπη, τὸ μῖσος καὶ ἡ ἀποστροφὴ εἰσὶν αἱ ἐφεξῆς ἀναπτύξεις ἑτέρας τινὸς

SISMANOGLIO MEGARO

ἀντικειμένης ῥοπῆς, ἀπαλλάξαι αὐτὴν ἀπὸ τοῦ λυποῦντος ὁρμαινομένης. Ἡ ἄρα χαρά, ὁ ἔρως καὶ ἡ ἐπιθυμία, καίπερ διακεκριμένα ἀλλήλων ἢ κινήσεις, πρὸς τὸ αὐτὸ ὅμως καὶ τὰ τρία κατατείνει, καὶ τὴν αὐτὴν ἔχει πρόθεσιν καὶ φύσιν, οἱόν τινες τελειότητες ἀλληλοδιάδοχοι ὄντα μιᾶς καὶ τῆς αὐτῆς προόδου καὶ ἀναπτύξεως. Τὰ αὐτὰ δὲ ῥητέον καὶ περὶ τῶν ἑτέρων τριῶν ἀντιθέτων κινήσεων. Ἔστιν οὖν ἀναγαγεῖν εἰς δύο μεγάλας καὶ τριμερεῖς κινήσεις πάνθ' ὅσα ἡ πάθησις ὑφίσταται μετὰ τὴν ἑτέρωθεν προσβολήν· τὴν μὲν, προερχομένην ἐκ τῆς ἡδονῆς καὶ ἀγωνιζομένην πρὸς τὴν ἀντιποίησιν τοῦ ἡδέος· τὴν δὲ, ἐκ τῆς λύπης καὶ φερομένην πρὸς τὴν ἀπόκρουσιν τοῦ λυπηροῦ αἰτίου· ὧν ἡ μέν ἐστιν *ἑλκτική*· ἡ δὲ, *ἀπωστική*.

§. 219. « Ἀλλ' ἐνταῦθα διαπορήσειεν ἄν τις, εἴπερ εἰς τοῦτον τὸν ὅρον τελευτῶσιν ἀναπτυσσόμεναι ἑκατέρα τῶν κινήσεων τούτων, ἡ μὲν δηλονότι εἰς τὴν ἐπιθυμίαν, ἡ δὲ εἰς τὴν ἀποστροφήν. Δῆλον δ' ὅτι καὶ οὕτως ἔχει τὸ πρᾶγμα· εἰ οὐ μόνον ἡ ἔμμονος παρατήρησις οὐδὲν ἡμῖν ἕτερόν ποτε κίνημα παθηματικὸν παρὰ ταῦτα ἐνέδειξεν· ἀλλὰ καὶ ὁ λόγος αὐτὸς πείθει, ὅτι ἡ πάθησις πρὸς ἑκάτερον τούτων τῶν ὅρων ἀφιγμένη, τὴν ἐπιθυμίαν καὶ τὴν ἀποστροφὴν, οὐδαμῶς ἔχει περαιτέρω προβῆναι, ἀλλ' εἰς αὐτὸ τὸ ὕστατον τέρμα γέγονε, καὶ ὅλως ἤδη ὥρισται καὶ εἰδοπεποίηται. Εἰ οὖν καὶ δυνάμεως ἱκανῆς εἰμοιροίη πρὸς τὴν τῆς ἐπιθυμίας πλήρωσιν, τοῦτο λοιπόν ἐστι πρᾶξαι· ὃ παρ' ἡμῖν οὐ τῆς παθήσεως ἔργον, ἀλλὰ τῆς βουλήσεως. Ἡ γοῦν διπλῆ αὕτη ἀνάπτυξις τοῦ παθητικοῦ ἐνταῦθα σαφῶς ἐστι τετελειωμένη, ὡς τοῦ λοιποῦ τὴν τῆς βουλήσεως συγκατάθεσιν προσδεχομένη πρὸς ἐνέργειαν. Ἀλλαμὴν ἔνθεν μὲν ἐξ αὐτῆς ἀφωρμήθημεν τῆς πρώτης συναισθήσεως τοῦ παθήματος, τοῦ ἅμα τῇ ἔξωθεν ὑποκινήσει διεγειρομένου· ἔνθεν δὲ, εἰς αὐτὸ τὸ ἔσχατον τέρμα κατηντήσαμεν, μεθ' ὃ ἡ τῆς βουλήσεως ἐνέργεια εὐθὺς ἄρχεται, τοιαύτη δ' ἀλληλουχία συνδέδεται τὰ τρία ἐφεξῆς στοιχεῖα ἑκατέρας τῶν κινήσεων, ὥστε μὴ οἷόν τε εἶναι ἕτερόν τι ἐπινοῆσαι καὶ παρενθεῖναι μεταξύ· ἄρα ἀκρι-

SISMANOGLIO MEGARO



βῶς ἡμῖν τὰ κατ' αὐτὴν περιγέγραπται ἀπ' ἀρχῆς μέχρι τέλους, οὐδὲν ὅλως παραλιποῦσιν.

§. 220. « Ἀλλ' ἡ διπλῆ αὕτη ἀνάπτυξις τῆς παθήσεως οὐδὲν ἕτερόν ἐστιν ἢ τὸ *πάθος* ὑπὸ δύο μορφὰς καὶ εἴδη παριστάμενον, καὶ περὶ δύο ὑποκείμενα διάφορα περιστρεφόμενον, καὶ κατὰ πάσας τὰς ἐφεξῆς προόδους ἐκδηλούμενον. Ἀδύνατον οὖν εὑρεῖν ἐν ἡμῖν ἕτερόν τι παρὰ δύο *πάθη*, τὸ μὲν ἐκ διαθέσεως εὐαρέστου, ἀρχόμενον μὲν ἀπὸ τῆς *χαρᾶς*, μεταβαῖνον δ' εἰς τὸν *ἔρωτα*, καὶ καταντῶν εἰς τὴν *ἐπιθυμίαν*, ἢ τὴν κατοχὴν τῆς αἰτίας τῆς ἐμποιούσης τὴν ἡδονήν· τὸ δὲ, ἐκ διαθέσεως δυσαρέστου, ἀρχόμενον μὲν ἀπὸ τῆς *θλίψεως*, μεταπίπτον δ' εἰς τὸ *μῖσος*, καὶ ἀπολῆγον εἰς τὴν *ἀποστροφὴν* τοῦ αἰτίου τῆς λύπης. Ἑκατέρῳ δὲ τῶν παθῶν τούτων ἔστω ὀνόματα τάδε, *πάθος ἑλκτικὸν* καὶ *πάθος ἀπωστικόν*. (α)

(α) Ἡ φιλία καὶ νεῖκος (passion attractive, et passion repulsive) ἃ δὴ καὶ παρὰ τοῖς ἀρχαίοις γενικώτερον νοοῦνται ἐπί τε τῶν ἐμψύχων καὶ μή. Αὕτη δ' ἡ παρὰ τοῦ σοφοῦ Ἰωφροὰ (Jouffroy) ἀνάλυσις τοῦ παθητικοῦ μορίου τῆς ψυχῆς δείκνυσι κάλλιστα τὴν συνήθη αὐτῷ ψυχολογικὴν ὀξυδέρκειαν. Εἰσὶ δὲ καὶ τινες, οἱ ἐπελάβοντο τῆς θεωρίας ταύτης, ὡς διὰ κινήσεων ὑλικωτέρων καὶ φυσικωτέρων παχυλῶς πως ἐξηγουμένης. Τοῦτο μὲν οὖν καὶ ὁ συγγραφεὺς συνεῖδεν, ἀλλ' οὐκ ἦν ἄλλως γενέσθαι· αἱ γὰρ τετριμμέναι λέξεις ἀόριστόν τι περιέχουσι, καὶ οὐκ ἐπιπόλαιον οὐδὲ κατάδηλον ποιοῦσι τὴν διαφορὰν τῶν προόδων τῆς παθήσεως. Ἔτι δὲ καὶ αὐτὰ τὰ διανοητικώτερα ὀνόματα χαρὰ, θλίψις κτλ. ἀπὸ τῶν φυσικῶν κινήσεων ἐλήφθησαν· ἔπειτα δὲ τῷ χρόνῳ ἐπισκιαζομένη ἀεὶ κατ' ὀλίγον ἡ πρώτη σημασία μετέπεσεν εἰς τὴν νῦν. Δύο δ' εἰσὶν αἱ αἰτίαι, δι' ἃς οὐκ ἔχομεν ὅλως ἐκφυγεῖν τὴν χρῆσιν τῶν ὑλοπρεπῶν ἐκφράσεων ἐν τῇ δηλώσει τῶν νοερῶν καὶ πνευματικῶν ἐνεργημάτων· μία μὲν, ἡ ἀεὶ καὶ πανταχοῦ παροῦσα ἡμῖν φαντασία, καὶ ἀναμιγνυμένη καὶ αὐτοῖς τοῖς ἀκραιφνεστάτοις νοήμασι· δευτέρα δὲ, ἡ συμπάθεια τῆς ψυχῆς καὶ τοῦ σώματος· ὥσπερ γὰρ αἱ σωματικαὶ κινήσεις διϊκνούμεναι εἰς τὴν ψυχὴν, ἐξαϋλίζονται καὶ λεπτύνονται οὕτως εἰπεῖν καὶ ἐξευγενίζονται, οὕτως ἀμοιβαδὸν πᾶσα ἐνέργεια τῆς ψυχῆς ἐμπίπτουσα κατ' ἀνάγκην εἰς τὸ σῶμα, ὑλοποιεῖται ἢ αἰσθητοποιεῖται καὶ παχύνεται. Τοιοῦτός ἐστιν ὁ νόμος ὁ ἐπιβεβλημένος τῇ ἀνθρωπίνῃ φύσει· μάλιστα δὲ, ἵνα νοήσωμεν πολλάκις τὰ ἀϋλότερα καὶ λεπτότερα, εἰς μεταφορὰς ἐπιτηδείς καταφεύγομεν χορηγουμένας ἐκ τῶν φυσικῶν πραγμάτων, ὡς καὶ ἐν τῇ περιλαλήτῳ γλώσσῃ λέγομεν, μαζεύει ἡ ψυχή μου, ἐσφιγξεν ἡ καρδία μου κτλ. Οὐ μέντοιγε διὰ τοῦτο ἄξιον καταχρῆσθαι τῇ μεθόδῳ ταύτῃ, εἰμὴ πᾶσα ἀνάγκη· ἐὰν γὰρ προτιθέμενοι διασαφεῖν, παραμορφῶμεν ἐξ ὑπερβολῆς τὴν ἀλήθειαν, φευκτέον πάντως τὰς τοιαύτας μεταφοράς.

§. 221. « Ἔστι δέ τις ἀρχαία καὶ κοινὴ διαστολὴ τῶν παθῶν εἰς *ἀγαθοποιὰ καὶ κακοποιά*, ἢ *εὔνοα καὶ δύσνοα*, ἣν καὶ ἡ ψυχολογικὴ παρατήρησις ἐπικυροῖ καὶ καθιδρύει, βρῖθος αὐτῇ ἐπιστημονικὸν περιτιθεῖσα. Οὐδέποτε γὰρ ἡ τοῦ ἀνθρωπίνου γένους συνείδησις ἀ-

ἀλλ' ὅπως καὶ ἂν ἔχῃ τὸ πρᾶγμα, ἡμεῖς μεταφράζοντες ὀφείλομεν στιχεῖν τῇ πρωτοτύπῳ ἐξηγήσει, καὶ ἀποδοῦναι πιστῶς τὰ ἐν αὐτῇ περιεχόμενα. Δύο τοίνυν ἀντιστρόφους κινήσεις τοῦ παθητικοῦ δέχεται ὁ φιλόσοφος, τὴν τῆς ἡδονῆς καὶ τὴν τῆς λύπης· ἑκατέρᾳ δὲ τούτων τριπλῆν πρόοδον ἐνορᾷ. Ἴδωμεν οὖν, εἰ εὐστόχως τὰ παρ' αὐτῷ ὀνόματα μετηνέγκαμεν εἰς τὴν Ἑλληνικήν. Ἡ ψυχὴ ἡδομένη πρῶτον μὲν κινεῖται καθ' ἑαυτὴν πλατυνομένη, διανοιγομένη, διατεινομένη, διαστελλομένη, ἵν' ἐμφορηθῇ πάσης τῆς τερψιθύμου ἐπενεργείας. Ταύτην τὴν πρώτην φοράν, ἢ ὁρμὴν ἢ κίνησιν ὁ Συγγραφεὺς ὀνομάζει dilatation (Πλάτυνσιν, διάχυσιν, διαστολήν, διάτασιν κτλ. ὅπου τὴν μὲν διαστολὴν ἐλάβομεν ἀπὸ τῆς ἐν τῇ καρδίᾳ ζωηλογικῆς κινήσεως· τὴν δὲ διάτασιν ἀπὸ τοῦ Ἀριστ. Ἠθικ. Νικομ. βιβλ. θ. κεφ. ἑ. Καίτοι ὁ ἐκεῖ Παραφρ. ἐξηγεῖται, «ὁρμήν τινα καὶ κίνησιν πρὸς τὸ φιλούμενον» ὃ μᾶλλον ἂν ἁρμόσειε πρὸς τὴν εὐθὺς μετὰ ταῦτα πρόοδον· ἀλλ' ἴσως ἡ παράφρασις ἀντιστοιχεῖ μᾶλλον πρὸς τὴν παρακειμένην λέξιν, ὄρεξιν.) Δεύτερον δὲ ἡ ψυχὴ οὐκ ἀρκεῖται τῇ ἐν ἑαυτῇ ἀγαθοποιῷ ἐνεργείᾳ, ἀλλὰ προκύπτουσα ἔξω, ἀναζητεῖ τὴν αἰτίαν τῆς τοιαύτης εὐεργεσίας· τοῦτο ὁ συγγραφεὺς καλεῖ expansion (πρόχυσιν, πρόκυψιν, προβολήν, ὄρεξιν, ἢ συνηθέστερον δίωξιν· ὅρ. Ἀριστ. Ἠθικ. Νικομ. Βιβλ. ϛ. κεφ. β. « Τρία δ' ἔστιν ἐν τῇ ψυχῇ τὰ κύρια πράξεως καὶ ἀληθείας, αἴσθησις, νοῦς, ὄρεξις (τουτ. ἔρως ἢ πάθησις.) Τούτων δ' ἡ αἴσθησις . . . . . ἔστι δ' ὅπερ ἐν διανοίᾳ κατάφασις καὶ ἀπόφασις, τοῦτ' ἐν ὀρέξει δίωξις καὶ φυγή· ὥστ' ἐπειδὴ ἡ ἠθικὴ ἀρετὴ ἕξις προαιρετική, ἡ δὲ προαίρεσις ὄρεξις βουλευτικὴ κτλ. » ὅπου καὶ συγχέει τὴν πάθησιν πρὸς τὴν βούλησιν· ὅρ. ἐν τῷ περὶ Ἐλευθερίας.) Τρίτον δ' εὑροῦσα τὸ ἀγαθόν, ἀντιποιεῖται αὐτοῦ· τοῦτο ὁ συγγραφεὺς καλεῖ attraction (ἕλξιν, ἀντιποίησιν κτλ. ὥσπερ Δημοσθ. Φιλ. δ. « τοῦ πρωτεύειν μὲν ἅπαντες ἀντιποιοῦνται κτλ. ») Λυπουμένη δὲ ἡ ψυχὴ ὑφίσταται τὰς τρεῖς ταύτας ἀντιθέτους προόδους, τὴν contration (συστολήν, στένωσιν κτλ.) τὴν concentration (συγκέντρωσιν, ὑποχώρησιν, συνέλιξιν, συστροφὴν ἀνείλησιν κτλ.) καὶ τὴν repulsion (ἀπόκρουσιν, ἀπώθησιν κτλ.)

Καὶ ταῦτα μὲν τὰ φυσικώτερα ὀνόματα· τὰ δὲ συνήθη καίπως δοκοῦντα ἀοριστότητός τινος μετέχειν ἐστὶ τάδε joie (χαρὰ ἢ καὶ ἡδονὴ ἐνταῦθα, ὃ συνήθως μᾶλλον ἀντιστοιχεῖ πρὸς τὸ plaisir) amour (ἔρως, ἡ πρὸς τὸ ἀγαθὸν ἔξω ὁρμή· ἀλλ' ἔχει καὶ ἑτέρας σημασίας ὁ ἔρως περὶ οὗ ὅρ. Σχ. §. 215) desir (ἐπιθυμία, ἔφεσις κτλ.) tristesse (θλίψις ἢ λύπη, εἰ καὶ τοῦτο ἀντιστοιχεῖ εἰδικώτερον πρὸς τὸ douleur.) haine (μῖσος) καὶ aversion (ἀποστροφή, ὃ ἰσχυρότερόν ἐστι τοῦ μίσους.)



πατᾶται· ἀορίστως γεμὴν παρίστησιν, ὅσα καὶ ἀορίστως συναισθάνεται. Μόνη δὲ διαφορὰ ἐκείνη ἐστίν, ὅτι ἡ ἐπιστήμη θηρεύουσα τὴν διάκρισιν ἐν τοῖς πράγμασιν, εὐκρίνειαν καὶ τῇ γλώσσῃ περιποιεῖ. Οὐ γάρ που ἕτερόν ἐστιν ἡ φιλοσοφία, ἢ ἡ τῶν αὐτοφυῶς προϊόντων τοῦ σώφρονος λόγου καὶ τοῦ κοινοῦ νοὸς ἀκριβεστέρα ἀνάπτυξις· διὸ καὶ ὅταν μὲν εἰς δόξας καταντᾷ ἀντιμαχομένας τοῖς κοινῇ ὁμολογουμένοις, ὕποπτος εἶναι δοκεῖ περὶ τὰ ἐξαγόμενα· ὅταν δὲ δικαιοῖ καὶ ἐξηγῆται τὰ παρὰ τοῖς πολλοῖς, τότε πιθανῶς ἀληθεύει. »

§. 222. Bον· *Περὶ τῶν αὐτῶν φαινομένων ἐν τῇ μνήμῃ, τῇ προγνώσει καὶ τῇ φαντασίᾳ*.—Καὶ ταῦτα μὲν περὶ τῶν παρόντων ἀγαθῶν ἢ κακῶν· ἡ αὐτὴ δὲ θεωρία ἐξηγεῖται καὶ τὰ πάθη τὰ διεγειρόμενα ἐν τοῖς ἀγαθοῖς καὶ τοῖς κακοῖς, τοῖς παρελθοῦσι καὶ μέλλουσι καὶ φανταστοῖς. Ἴδωμεν οὖν ὅπως τὸ πάθος μεταβάλλει, ἕνεκά γε τῆς μνήμης, τῆς προγνώσεως καὶ τῆς φαντασίας, αἳ δὴ καὶ προεξητασμέναι ἰδίᾳ, πρόχειρον ἡμῖν τὴν προκειμένην ἔρευναν τὴν περὶ τοῦ παθητικοῦ καταστήσουσιν. Ἀρξώμεθα δὲ ἀπὸ τῆς μνήμης.

§. 223. Δύο δὲ περιστάσεις ἀναγκαίως ἐνταῦθα πάρεισιν· μνημονεύομεν γὰρ παρελθόντος ἤτοι ἀγαθοῦ ἢ κακοῦ. Ὅταν μὲν οὖν εἰς ἀγαθόν τι ἀποιχόμενον τὴν διάνοιαν ἀνενέγκωμεν, καὶ τὴν στέρησιν αὐτοῦ ἀναλογιζώμεθα, ἀλγοῦμεν περιπαθῶς ἐπὶ τῇ λυπηρᾷ ταύτῃ ἀναμνήσει οὐχ ἧττον, ἢ ὥσπερ εἰ καὶ κακῷ τινι προκειμένῳ ἐδυσχεραίνομεν. Ἐὰν δὲ καὶ ὑπερτείνῃ καὶ ἐπαύξῃ ἡ λύπη, εἰς μῖσος καὶ ἀποστροφὴν μεταπίπτει κατὰ τῶν αἰτίων τῆς συμφορᾶς, ὅταν μάλιστα ἐκ προαιρέσεως καὶ διανοίας τύχωσι πρὸς τοῦτο συνεργήσαντα· λυπεῖ μὲν γὰρ καὶ ἡ τυφλὴ εἱμαρμένη καὶ ἡ ἄφυκτος ἀνάγκη, ἀλλὰ σιγῇ τὸν αὐχένα ὑποκλίνοντες, μηδεμιᾶς προαιρέσεως καταμέμψασθαι ἔχομεν. Τὸ ἄρα ἀπολωλὸς ἡμῖν ἀγαθὸν ὡς κακόν τι ἀληθῶς τίθεται, καὶ τὸ ἐντεῦθεν πάθος ἀπωστικόν ἐστι πάντως, ὡς γινόμενον μὲν ἐκ τῆς ἀναμνήσεως τοῦ ἀνηρπασμένου ἡμῖν ἀγαθοῦ, ἀναφερόμενον δ' ἅμα καὶ πρὸς τὰ ἐπενεγκόντα τὴν ἤδη παροῦσαν ἀτυχίαν.

§. 224. Συμβαίνει δέποτε ἐνθυμεῖσθαι τὸ πάλαι πόθ ὑπάρξαν ἡμῖν ἀγαθὸν μετά τινος θυμηδίας καὶ χαρμοσύνης. Πῶς οὖν συμβιβάζεται ἡ τοιαύτη διάθεσις πρὸς τὰ προειρημένα; Ἀλλὰ γὰρ ἀναπολούμενοι τοὺς καιροὺς καὶ τοὺς τόπους, ἐν οἷς ποτ' εὐδαίμονες ἦμεν, ὅλως τοῦ παρελθόντος γινόμεθα, καὶ τὰ τότε ἡδέα φανταζόμεθα μόνον, μηδεμίαν ἅμα ἐπιστροφὴν τῶν ἤδη λαμβάνοντες, καὶ τὴν τερπνὴν φαντασίαν τῶν παρῳχημένων ἀκραιφνῆ οὕτω τηροῦντες ἀπὸ τῆς ἀντικειμένης νῦν καταστάσεως. Ἐπιλανθανόμεθα οὖν ἐπὶ μικρὸν τῶν παρόντων, μετάρσιοι γινόμενοι πρὸς τὸ παρελθὸν, καὶ πρὸς ἐκεῖνο ἀποβλέποντες μόνον. Χαίρομεν τοίνυν εἰκότως ἐπὶ ταῖς τοιαύταις ἐπιτερπέσιν ἀναμνήσεσιν, ἃς, περιπλανώμενοι εἰς τὸ παρελθὸν, οὐ χραίνομεν τῇ λύπῃ τῇ ἐκ τῆς ἀντιπαραθέσεως τοῦ ἐνεστῶτος φύσει προερχομένῃ. Ἀλλὰ τοῦτο ὀλιγοχρόνιός τίς ἐστιν ὀνείρωξις ἡδεῖα καὶ τερψίθυμος, ἣν ἡ ἀλήθεια ἡμῖν τάχιστα ἐπιλάμπουσα διασκεδάζει καὶ διαλύει, γεύουσα ἡμᾶς τῆς πικρίας τοῦ νῦν ἀτυχήματος. Οὐδὲν οὖν ἀσύμβατόν ἐστι τοῖς ἀνωτέρω τεθειμένοις· ὅταν μὲν γὰρ ἐπαισθανώμεθα καὶ τῆς στερήσεως τοῦ πάλαι ἀγαθοῦ, τότε οὐ δυνάμεθα μὴ δυσχεραίνειν καὶ λυπεῖσθαι· ὅταν δ' ἐπιτερπόμενοι ταῖς ἀπατηλαῖς φαντασίαις ὀνειρώττωμεν μόνον τὰ ἀρχαῖα, τότε ἐκ τοῦ νῦν εἰς τὸ πάλαι ἑαυτοὺς ψευδῶς μεταφέροντες, κατακηλούμεθα καὶ μεθύομεν ἐν εὐφροσύναις ἀνυποστάτοις. Καὶ ταῦτα μὲν περὶ τῆς ἀναμνήσεως τῶν ἐξηφανισμένων ἡμῖν ἀγαθῶν.

§. 225. Ἀναμιμνησκόμεθα δὲ καὶ τῶν γεγονότων μὲν ἡμῖν πάλαι ποτὲ κακῶν, νῦν δὲ οὐκέτι λυπούντων. Κἀνταῦθα δὲ, ὅταν μὲν ἐπαισθανώμεθα τῆς νῦν ἀπαλλαγῆς τούτων, χαίρομεν, πῶς γὰρ οὔ; καὶ οἱονεὶ φιλοῦμεν αὐτὰ, ᾗ παρελθόντα καὶ οὕτως ἀγαθὰ τρόπον τινὰ ἡμῖν εἶναι οἰόμεθα, ὡς μὴ τοῦ λοιποῦ ἡμᾶς ὀχλεῖν καὶ κωλύειν ἔχοντα· εὐχόμεθα δὲ διατελεῖν ἀεὶ ταῦτ' ἀδρανῆ ὄντα, εἴτ' εὐμοιροῦσιν εἴτε μὴ προαιρέσεως. Ὅταν δὲ περιορίσωμεν τὴν διάνοιαν ἡμῶν ἐν ἐκείνοις, μὴ ἅμα καὶ τὴν νῦν ἐπὶ τὸ κρεῖττον μεταβολὴν ἀντιπαρατιθέντες, τότε κατηφείας πληρούμεθα, καὶ ὡς

SISMANOGLIO MEGARO



ἐπὶ τῇ παρουσίᾳ αὐτῶν ἀνιώμεθα. Ἀλλ' ἡ τοιαύτη ἐξαπάτη τῆς φαντασίας οὐκ ἐπὶ πολὺν χρόνον διαρκεῖ· μετὰ μικρὸν γὰρ οἷον ἀνανήφομεν τῆς κενῆς ἐκείνης λύπης, καὶ ἐγρηγόραμεν ἐπὶ τοῖς παροῦσι γεγηθότες, ὡς τῶν ἐννοουμένων δεινῶν πορρωτάτω ὄντων καὶ ἀδρανῶν καὶ ἀλύπων ἡμῖν, καὶ τὸ πάθος οὕτω τάξιν λαμβάνει τὴν προσήκουσαν, πρὸς τὴν παροῦσαν ἀλήθειαν ἁρμοζόμενον. Καὶ ταῦτα μὲν ὡς πρὸς τὸ παρελθόν.

§. 226. Φύσει δὲ καὶ τὸ μέλλον ὁπωσδήποτε προορῶμεν, ὁρμῇ τινι προαισθανόμενοι τοῦτο, ἢ καὶ λογικῶς τεκμαιρόμενοι. Τὰ δὲ προορώμενα ταῦτα ἀγαθὰ ἢ κακὰ εἶναι δοξάζομεν, ἐγγύθεν ἢ πόῤῥωθεν προσιόντα, καὶ βεβαίως ἢ ἀβεβαίως ἐπελευσόμενα. Πρὸς οὖν ταύτην τὴν πρόγνωσιν καί τις συγκίνησις τοῦ παθητικοῦ ἀνάλογος συστοιχεῖ. Εἰ μὲν γὰρ τὰ γενησόμενα ἀπαίσια εἴη καὶ δυσάρεστα, ἡ τούτων προέποψις ἐμποιεῖ ἡμῖν λύπην, μῖσος καὶ ἀποστροφὴν, ὡς εἴπου καὶ παρείη ἡμῖν πράγματι καὶ μὴ μόνον ἐν διανοίᾳ. Καίτοι πολλάκις σφοδρότερον πειρώμεθα αὐτῶν προορωμένων ἢ παρόντων, ὅταν ἡ πρόγνωσις πολλῇ τῇ φαντασίᾳ συνανακεκραμένη, ὑπεραύξῃ ὑπὲρ τὸ ἀληθὲς μέτρον τὴν φύσιν τοῦ προσδοκωμένου ἀνιαροῦ. *Φόβος* δὲ τὸ πάθημα τοῦτο λέγεται, κατὰ διαφόρους τρόπους καὶ ἐπαλλαγὰς μετέχων λύπης, μίσους καὶ ἀποστροφῆς ὡς πρὸς τὸ μέλλον.

§. 227. Ἀλλ' ἦμεν ἂν δυστυχέστατοι πάντων, εἰ στρέφοντες τὸ βλέμμα ἡμῶν πρὸς τὸ μέλλον, δεινὰ μόνον εὑρίσκομεν, καὶ ὑπὸ τοῦ φόβου ἀεὶ συνειχόμεθα· νῦν δ' ἐξ ὑπαλλαγῆς ἀντισήκωσίς τις τοῦ φόβου ἔγκειται ἡμῖν καὶ ἡ *ἐλπίς*. Ὅταν γὰρ προσδοκῶμεν ἀγαθά τινα, χαίρομεν καὶ ὀρεγόμεθα τούτων. (Ἔστι γὰρ εὐδαιμονεῖν καὶ ἐπ' ἀγαθῷ, οὗ νῦν μὲν οὐκ ἀπολαύομεν, μέλλομεν δέποτε κατεντρυφήσειν·) ἀναρπαζόμενοι γὰρ πρὸς αὐτὰ καὶ ὅλως εὐέλπιδες ὄντες, ἐν χερσὶν οἰόμεθα ἔχειν τὰ προσδοκώμενα, καὶ εὐφροσύνης μεγίστης πληρούμεθα. Καίτοι κἀνταῦθα τὸ πάθος συμμεταβάλλει καθ' ἣν ἔχομεν δόξαν περὶ τοῦ μέλλοντος· πολλάκις γὰρ καὶ ἡ φαντασία κατακηλοῦσα ἡμᾶς, ἀλλοῖον ἢ ἔσται τὸ πρᾶγμα

ἀναπλάττεται, πολλῷ δὴ κρεῖττον καὶ κάλλιον τῆς ἀληθείας· ἔστι δέποτε καὶ πολλῷ ἧττον καὶ ὑποδεέστερον τοῦτο παρίστησι, καταςμικρύνουσα τὴν ἀξίαν αὐτοῦ· τότε οὖν δυσέλπιδές τινες ἐσμὲν καὶ ἀπηλπισμένοι, ὅταν μάλιστα βεβαρυμμένοι ἐπὶ τοῖς παροῦσι δεινοῖς, σκυθρωπάζωμεν καὶ θορυβώμεθα πρὸς τὸ μέλλον. Εἰσὶ δὲ καί τινες, ὡς ἐκ τῆς ἰδίας αὐτῶν κράσεως, φύσει ῥέποντες πρὸς τὸ μηδὲν ὡς ἀγαθὸν ἐκλαμβάνειν, καὶ τὸ ἐσόμενον οὐδέποτε εἶναι τοῦ παρόντος ἀντάξιον νομίζοντες. Τοῦτο γεμὴν ἐστι σπανιώτερον· ἡ γὰρ φαντασία μαντευομένη τὸ μέλλον ῥέπει μᾶλλον ἐπὶ τὸ μεγεθύνειν τὰ ἡδέα ἢ τὰ ἀλγεινά.

§. 228. Εἴρηται οὖν περὶ τῶν ἐνεργημάτων τοῦ *Παθητικοῦ*, τῶν παροπηδούντων τῇ ἐννοίᾳ τοῦ παρόντος, τοῦ γενομένου καὶ τοῦ ἐσομένου· προσθετέον δὲ νῦν καὶ τὰ συνδεόμενα τῇ ἐννοίᾳ τῶν φανταστῶν, ὡς καὶ τούτων συγκινούντων ἡμᾶς καὶ διατιθέντων ἡδέως ἢ ὡς ἑτέρως. Καὶ γὰρ ὅταν μὲν ταῦτα ὑπολαμβάνωμεν, οἷά ἐστιν ἀληθῶς, δηλαδὴ ἀνυπόστατα καὶ κατ' ἐπίνοιαν ὄντα, καὶ οὕτω μὲν ὡς δοκοῦντα καλὰ ἢ αἰσχρά, εὐάρεστα ἢ δυσάρεστα, ἐνίησιν ἡμῖν πάθημά τι εὐάρεστον ἢ δυσάρεστον· (ἐπεὶ καὶ αὐτὴ ἁπλῶς ἡ ἔννοια τοῦ καλοῦ καὶ τοῦ αἰσχροῦ πέφυκεν ἐξεγείρειν ἡμᾶς τῆς ἀπαθείας.) Ὅταν δ' ἐν τῇ ὀνειρώξει καὶ τῇ παραφροσύνῃ, ἢ τῷ πυρετῷ τοῦ ποιητικοῦ ἐνθουσιασμοῦ, συγχέωμεν τὸ ἀνάπλασμα πρὸς τὸ ὑφεστώς, τῆς ἀληθείας ἀποπλανώμενοι, τότε τὸ ἐντεῦθεν πάθημα ζωηρότερόν ἐστι καὶ ἰσχυρότερον, ἐκ τῆς ἀπατηλῆς φαντασίας παρανενοθευμένον. Παράδειγμα δ' οἰκτρὸν τῆς τοιαύτης ἐξαπάτης εἰσὶν οἱ *μαινόμενοι*, τὰ φαντάσματα ἀληθῶς ὑπάρχειν οἰόμενοι, καὶ χαίρουσιν ἢ λυποῦνται, καὶ γελῶσιν ἢ κλαίουσιν, ἐφ' οἷς ἥκιστα ἔδει ἔκ γε τῆς ἀληθείας τὰ τοιαῦτα παθαίνεσθαι. Ἀνωμάλως οὖν καὶ ἀτάκτως ὁ βίος τῶν οὕτω πασχόντων παραφέρεται.

Τοσαῦτα οὖν εἰρήσθω περὶ τῶν κυριωτέρων τρόπων, οὓς ὑφίσταται ἔνθεν μὲν ἡ χαρά, ὁ ἔρως καὶ ἡ ἐπιθυμία· ἔνθεν δὲ ἡ λύπη, τὸ μῖσος καὶ ἡ ἀποστροφή, ὡς ἐκ τῶν διαφόρων τοῦ νοὸς ἐργασιῶν. Ἀποδέδοται δὲ ἡμῖν ἐκ τῶν εἰρημένων οὐ μόνον ἡ ἐξήγησις τῆς ἐν γένει παθήσεως, ἀλλὰ καὶ ἡ τοῦ *πόθου* καὶ τῆς *εὐφροσύνης*, (α) τοῦ τε *φόβου* καὶ τῆς *ἐλπίδος*, καὶ τῆς κατὰ *φαντασίαν ἡδονῆς* τε καὶ *λύπης*. Καιρὸς ἤδη μεταβῆναι ἐφ' ἕτερα.

SISMANOGLIO MEGARO



§. 229. Γον. *Περὶ τῶν αὐτῶν διαθέσεων σχετικῶς ὡς πρὸς τὴν διάρκειαν τοῦ χρόνου.*—Ἐκ τῶν ἀγαθῶν καὶ τῶν κακῶν τὰ μὲν ἐπ' ὀλίγον χρόνον ἡμᾶς διατίθησι· τὰ δέ, ἐπὶ πλεῖστον· ἀλλὰ καὶ ἐν αὐτοῖς τοῖς διαρκοῦσι τὸ πάθος ἀεὶ κατὰ μικρὸν ὑποχαλᾶται, μέχρις οὗ πάμπαν ἐξαφανισθῇ· οὐ γὰρ ὡσαύτως ἐπαισθανόμεθα τούτων, ὥσπερ ἐξ ἀρχῆς, ἀλλ' εὐθὺς μετ' ὀλίγον τό,τε ἡδὺ ἀμβλύτερον ἡμῖν ἀποβαίνει· τό,τε λυπηρόν, φορητότερον καθίσταται. Ὅτι οὐ συμπάσας αὐτῷ τὰς περιστάσεις ἐννοοῦμεν, ἀλλ' ἀεί τι διὰ τοῦ χρόνου ὑφαιρούμενοι, ἐξαλλοιοῦμεν πάντως καὶ τὴν ἐκ τῆς ἐννοίας αὐτῶν προερχομένην διάθεσιν. Καὶ γίνεται μὲν τοῦτο φύσει καὶ αὐτομάτως, γίνεται δὲ πολλῷ μᾶλλον καὶ ὅταν ἐπικουρίαν τινὰ διὰ τῆς βουλήσεως παρέχωμεν ἑαυτοῖς, διώκοντες προθύμως τὰς ἀντιθέτους περιστάσεις τὰς ἀνιείσας καὶ ὑποχαλώσας τὸ πάθος. Τοῦτο δὲ μάλιστα χαρακτηρίζει τοὺς γενναίους ἄνδρας, ὅτι αὐτοὶ βοηθοῦντες τῇ φύσει ἐπιταχύνουσι τὴν κατάπαυσιν τοῦ θορυβώδους παθήματος, ἀπασχολοῦντες ἑαυτοὺς ἀπὸ τοῦ προκειμένου, καὶ πρὸς ἑτέρας τινὰς διατριβὰς τρεπόμενοι, οἷον τὴν ἔρευναν τῶν ἐπιστημονικῶν ἀληθειῶν, τὴν διαχείρισιν τῶν πολιτικῶν πραγμάτων, τὴν πρόσκτησιν ἕξεών τινων ἐπιπόνων καὶ εἴτι ἕτερον, ἃ πάντα οἶδε τὴν γαλήνην ἐπανάγειν ἐν τῇ ψυχῇ, καταστορεννύντα τὸν σάλον τοῦ πάθους τοῦ αὐτὴν συνταράξαντος. Καὶ δοκοῦσι μὲν οἱ τοιοῦτοι ἀπρόσβλητοι τοῖς αἰτίοις τῆς χαρᾶς καὶ τῆς λύπης, ἀλλ' οὐχ ἧττον καὶ οὗτοι δουλεύουσι ταῖς περιπετείαις τοῦ βίου, εὐσταθεῖς ὅμως καὶ ἀπερίτρεπτοι ἐν τοῖς καιροῖς διαμένοντες, καὶ τὸ φρόνημα ἀκατάπτωτον ἔχοντες. Νόμος οὖν οὗτός ἐστιν ἀληθές, ὅτι ὁ χρόνος προϊὼν ἀποσβέννυσι βαθμηδὸν τὰ πάθη.

(α) Π ό θ ο ς μὲν ἐστι τὸ γαλλικ. regret, τουτ. ἀθυμία ἐπὶ ἀγαθοῖς ἀποῦσι. Ε ὐ φ ρ ο σ ύ ν η δ' ἂν εἴη εὐθυμία ἐπὶ κακοῖς μηκέτι λυποῦσιν, ἀντιστοιχοῦσα πρὸς τὸ γαλλικὸν rejouissance.

§. 230. Δοκεῖ δέ τις ἐξαίρεσις εἶναι ἐν τούτοις, καίπερ ἀληθῶς μὴ οὖσα, ἐξηγήσεως δὲ μόνον χρήζουσα. Ἔνια γὰρ τῶν παθῶν σὺν τῷ χρόνῳ ἡλικιοῦται καὶ συναύξεται, ἢ γοῦν ἐξ ἴσου θάλλει ἀεὶ μηδαμῶς ἀπομαραινόμενα. Ἆρ' οὖν οὐκ ἀντίφασις αὕτη δοκεῖ πρὸς τὰ εἰρημένα; Φέρε δὴ ἐξετάσωμεν τὸ πρᾶγμα ἀκριβέστερον. Διὰ γὰρ δύο αἰτίας τὰς ἑξῆς συμβαίνοι ἂν εἰκότως τὸ τοιοῦτο τοῖς πάθεσι· μίαν μὲν, ἐὰν τὰ ἀγαθὰ ἢ κακὰ, κατ' ἀρχὰς μὲν οὐχ οὕτω καλῶς γινώσκηται, ἔπειτα δὲ διὰ τοῦ χρόνου ἀκριβέστερον παρατηρούμενα, μείζονα ἢ πρόσθεν εὑρίσκηται· ἔστι γὰρ οὕτω τὸ πάθος, μετρούμενον ἀεὶ ἐπὶ τῆς ἀξίας τοῦ νοουμένου, ἐντονώτερον ἀποβαίνειν, ὡς πρὸς ἄμεινόν τι ἢ χεῖρον ἀναφερόμενον· ἡ γὰρ ἐν τῇ κρίσει μεταβολὴ φέρει μεταβολὴν καὶ ἐν τῇ συγκινήσει. Μία μὲν οὖν αἰτία αὕτη, ἐξ ἡμῶν αὐτῶν· ἑτέρα δὲ, ἐὰν αὐτὰ τὰ ἀγαθὰ καὶ τὰ κακὰ οὐ μόνον διὰ τοῦ χρόνου δοκῇ ἀμείνω ἢ χείρω τοῖς πάσχουσιν, ἀλλὰ δὴ καὶ γίνηται ἀληθῶς τοιαῦτα, προσλαμβάνοντα καὶ ἕτερα συστατικὰ καὶ πλέον τι αὐξάνοντα. Τοῖς γοῦν ὁρῶσι τὴν μετὰ ταῦτα ἔντασιν τοῦ ἀγαθοῦ ἢ τοῦ κακοῦ, μεῖζον φύσει καὶ πάθος ἐνδιεγείρεται. Ἐν ἑκατέροις οὖν τὸ πάθημα συνεπαλλάσσει ἀεὶ τῇ δόξῃ, ἣν ἂν τυγχάνωμεν ἔχοντες περὶ τῶν κινούντων ἡμᾶς. Ἀλλὰ καὶ ταῦτα χωρήσαντα ἅπαξ ἐπὶ τὸ ἀκρότατον καὶ τὸ μέγιστον παλιῤῥοεῖ ἔπειτα κατὰ φύσιν, καὶ ἀεὶ ἀσθενέστερα γινόμενα, ἀφαντοῦται τελευταῖον παντάπασι καὶ ἐκλείπει· ὁ γὰρ νοῦς ἐθὰς γινόμενος τῶν παρόντων ἀγαθῶν ἢ κακῶν, οὐκέτι ὁμοίως περὶ αὐτὰ πτοεῖται, ἀλλ' ἀπαθέστερον ἔχει καὶ καταφρονεῖ.

§. 231. Ζητήσωμεν δὲ νῦν, διατί ἡ ψυχὴ ἡ διατιθεμένη μόνον ἐξ ὧν καὶ ὅπως νοεῖ, ἀσθενέστερον ἀεὶ ἡμέραν ἐξ ἡμέρας ἐπαισθάνεται τῶν ἀγαθῶν ἢ τῶν κακῶν. Τί οὖν ἑκάτερα τούτων ἐστὶ μεταφυσικώτερον θεωρούμενα; *Δυνάμεις*, ἐνεργοῦσαι ἐφ' ἡμᾶς φυσικῶς ἢ ἠθικῶς, καὶ ἀγαθαὶ μὲν ἡμῖν οὖσαι, ὅταν προοδοποιῶσι τῇ ψυχῇ τὴν ἐνέργειαν, καὶ βοηθῶσιν αὐτῇ εἰς τελειοτέραν ἀνάπτυξιν· κακαὶ δὲ, ὅταν τοὐναντίον ἐμπόδιοι ἐνεστάμεναι, κωλύωσι τὴν ὁρμὴν αὐτῆς καὶ εἰς ἀπραξίαν καταναγκάζωσι. Κατανοήσαντες δὲ ταύτας ἀκριβῶς, ὅσον δύνανται εἰς τὸ ἡμέτερον ἔργον, χαίρομεν ἢ λυπούμεθα ἐπὶ τῇ συνεργείᾳ ἢ ἀντενεργείᾳ αὐτῶν. Ἀλλὰ συνήθως αὗται διαμένουσιν ἡμῖν, οἷαί εἰσιν ἐξ ἀρχῆς, οὔτ' ἀμείνους οὔτε χείρους ἀποβαίνουσαι, ἀλλὰ τὴν αὐτὴν διασώζουσαι ἰσχὺν καὶ ἀξίαν· ἡμεῖς μέντοιγε οὐ μένομεν, οὐκ ἀκινητοῦμεν, οὐχ ἱστάμεθα, ἀλλὰ προοδεύομεν, προχωροῦμεν καὶ κινούμεθα ἀεὶ ἐπὶ τὰ πρόσω· τοιαύτης γὰρ προοδευτικῆς εἰλήχαμεν φύσεως.



§. 232. Οὕτως οὖν ἐκεῖνα μὲν οὔτε τι πλέον ἔχει οὔτ' ἔλαττον δρᾷν πρὸς ἡμᾶς, ἀλλὰ τοσοῦτον δύναται, ὅσον πρότερον· ἡμεῖς δὲ τοὐναντίον προβαίνομεν ἐπὶ τὸ τελειότερον, καὶ σθένος περιποιούμεθα μεῖζον, καὶ ἀξίαν προσλαμβάνομεν πλείονα. Ἀδύνατον ἄρα ταῦτα διατιθέναι ὁμοίως, ἐλάσσω ὄντα ὡς πρὸς μείζονας ἡμᾶς ἀποβάντας. Συνειδότες δὲ ἡμῖν αὐτοῖς κρείττοσι γενομένοις, ἐλάσσονα ἀεὶ λόγον τούτων ποιούμεθα, ὥστε καὶ ἀδιάφορα ταῦτα κρίνειν τελευταῖον, οὔτε βοηθήματα ἡμῖν οὔτε κωλύματα γενέσθαι δυνάμενα. Ἐπεὶ δὲ νῦν τὰ τοιαῦτα οὐκέτι ἀκριβῶς περισκοποῦμεν καὶ διατεταμένως, ὡς ὅτε τὸ πρῶτον ἡμῶν ἥψατο, ἀλλ' ἠρέμα καὶ ἀμυδρῶς τοῖς νοεροῖς ὄμμασιν ἐπιτρέχομεν, διὰ τοῦτο καὶ ἐπιλίγδην παθαινόμεθα καὶ ἐπιπολαίως. (α) Οὕτως οὖν πάντα τῷ χρόνῳ ἐξαλείφεται, ἡδονή τε καὶ ἔρως καὶ ἐπιθυμία, καὶ τὰ τούτοις ἐναντία· καὶ πόθοι δὲ καὶ εὐφροσύναι διαῤῥέουσιν, ἐλπίδες τε καὶ φόβοι διασκεδάν-

(α) Ἔστι δὲ καὶ ἕτερον λόγον ἀποδοῦναι τῆς βαθμηδὸν ἀμαυρώσεως τῶν διαφόρων ἐν ἡμῖν παθημάτων, ὅταν μάλιστα, ὥσπερ εἴρηται, μηδεμίαν ἐκ περιουσίας ἐπανάληψιν νεωτέραν ἐμποιῇ. Εἴη δ' ἂν ἡ λήθη ἡ κατ' ἀρχὰς μὲν ἐν μέρει, ἔπειτα δὲ παντελῶς ἐπισκιάζουσα τὰ κινοῦντα ἡμᾶς ἡδέως ἢ ἀηδῶς· μυρίαι γὰρ ὅσαι περιστάσεις ἀλληπάλληλοι ἐπιπίπτουσαι ἀφαρπάζουσιν ἡμᾶς καὶ ἀποσπῶσιν ἀπὸ τῶν ἀεὶ παρόντων, καὶ ἐκ προσβολῆς εἰς προσβολὴν μεθιστῶσιν· ἐν γὰρ τῇ ἀλληλουχίᾳ τῆς πολυτρόπου ταύτης τῶν πραγμάτων ῥοῆς πολλῶν μὲν ἐπιλελησμένοι, πολλῶν δ' ἀναίσθητοι ἀποβαίνομεν. Πάντα γὰρ ἡ πολυμέριμνος τοῦ βίου φορὰ παρασύρεται, καὶ τὰ χθὲς διανοήματα καὶ παθήματα ἀσθενέστερα γίνεται καὶ ἀμαυρότερα πρὸς τὰ σήμερον.

νυνται. Οὐδὲν γὰρ ὅ,τι ὁ χρόνος ἀνέπαφον παραλείπει, ἀλλ' ἐπιϐάλλων τὴν πανδαμάτειρα χεῖρα πάντα κατασείει καὶ ἀφανίζει.

§. 233. Ἀλλ', ἐρεῖ τις, τὰ εὐγενῆ καὶ τίμια καὶ ἐπιεικῆ πάθη, τὰ πρὸς αὐτὸ τὸ ἀγαθὸν ἀναφερόμενα, τὸ φιλότιμον, τὸ φιλόπατρι, τὸ φιλόστοργον, ἡ φιλία καὶ ἡ εὐγνωμοσύνη, ταῦτα γοῦν οὐκ ἐξαιρεῖται τοῦ νόμου τούτου; Οὐδαμῶς. Καὶ πρὸς ἀπόδειξιν ἀπόχρη ἓν παράδειγμα ἐνεγκεῖν ἅμα καὶ ἐξηγήσασθαι. Λάϐωμεν τὴν στοργήν, ἢ τὸν ἔρωτα τὸν πρὸς τοὺς συγγενεῖς. Τοῦτο μὲν οὖν τὸ πάθος εὐγενές τέ ἐστι καὶ διαμένει ὡς ἐπὶ τὸ πλεῖστον ἀπαραμείωτον καὶ κραταιὸν ἐν ταῖς ψυχαῖς τῶν φιλούντων. Ἡ γὰρ φιλοστοργία ἡ μητρικὴ συνεπαλλάσσει μὲν τῇ ἡλικίᾳ τοῦ φιλουμένου, καὶ μορφὴν ἄλλην μετενδύεται ἐπὶ τὸ σεμνότερον καὶ ἐμϐριθέστερον, οὐ διαφθείρεται ὅμως, ἀλλὰ δὴ καὶ κρατύνεται καὶ ἐμπεδοῦται μονιμώτερον. Οὐ μέντοιγε ἐξαίρεσις αὕτη ἐστί, μᾶλλον δὲ καὶ προσεπιϐεϐαιοῖ τὴν τεθεῖσαν παρ' ἡμῶν θεωρίαν, εἴγε μόνον τις τὸν λόγον καὶ τὴν αἰτίαν τοῦ πράγματος ἀνιχνεύσειε. Φέρε οὖν σκοπῶμεν τὸ πάθος ἀναλυτικώτερον.

§. 234. Ἡ μήτηρ οὐ διαλείπει στέργουσα ὃν ἔτεκε παῖδα, ἐν αὐτῷ καὶ ὑπὲρ αὐτοῦ ζῶσα ἀναποσπάστως καὶ περιπαθῶς. Τίς ὁ λόγος τῆς τοιαύτης διαρκείας; ὅτι ἀδιακόπως ἐν τῇ ψυχῇ αὐτῆς νέαι ἀφορμαὶ στοργῆς ἀναδίδονται, αὔξουσαι καὶ ὑποθάλπουσαι ἀεὶ τὸ εὐαφὲς καὶ τρυφερὸν τοῦτο πάθημα· οὐ γὰρ ἡ μήτηρ ᾗ μήτηρ ἐσάπαξ μόνον ἀγαπᾷ τὸν ἑαυτῆς παῖδα, ἀλλὰ διὰ παντὸς καὶ παντοιοτρόπως· οἶδε γὰρ ἀνευρίσκειν διὰ τῆς μητρικῆς ὀξυδερκείας μυρίας ἐν αὐτῷ τέρψεις, αἷς ἀγρύπνως ἐνατενίζουσα, ἀναζωπυρεῖ τὸν ἔνδοθεν ἔρωτα. Τὸ γὰρ τέκνον αὐτῇ οὐκ ἔστιν ἀγαθὸν ὡρισμένον καὶ πεπερασμένον καὶ οἷον ἀκίνητον καὶ τιμῆς τινος ῥητῆς καὶ ἀναυξήτου, ἀλλ' ἀπέραντόν τι καὶ ἀπεριόριστον καὶ ἀπειρότιμον· σύμπας γὰρ αὐτῇ ὁ βίος ἀναμεμιγμένος πάσῃ καὶ παντοίᾳ ἡδονῇ καὶ εὐφροσύνῃ, περὶ τὸ τέκνον στρέφεται καὶ σπουδάζει. Τίς γὰρ ἂν ἐξείποι ὅσα ὁ παῖς παρέχει τῇ μητρὶ πρὸς τέρψιν, φιλοστοργοτέραν ἀεὶ μᾶλλον αὐτὴν καθιστῶντα; πηγὴ ἀκένωτός ἐστι παθημάτων ἡ τῆς τεκούσης καρδία, καὶ οὐκ ἂν

SISMANOGLIO



ῥᾳδίως κορεσθείη τοῦ φιλητοῦ καὶ ἀξιεράστου αὐτῇ ὑποκειμένου.

§. 235. Οὕτως οὖν ἀνακαινίζεται ἐνταῦθα παντοιοτρόπως ἡ πρὸς τὴν τοιαύτην φιλίαν ὑπεξάπτουσα ὕλη· ἄλλως γάρ, ἐάν που ἡ αἰτία αὕτη μονότροπος ἀεὶ διαμένῃ, μηδέν τι πλέον εἰς αὔξησιν καὶ κόσμον κερδαίνουσα, ἧττον ἀεὶ εὐάρεστος καθισταμένη, ἀδιάφορος τελευταῖον ἔσται, καὶ οὐδεμίαν τοῦ λοιποῦ, ἢ πάνυ μετρίαν καὶ ἀμυδρὰν κίνησιν ἐμποιήσει· καὶ τοιαῦτά ἐστι πάντως οἰκτρά τινα πλάσματα, ἃ μόγις κινηθέντα ἵσταται παραχρῆμα καὶ ἀπομωραίνεται. Εἰ γὰρ καὶ ταῦτα φιλεῖ ἡ τεκοῦσα μήτηρ, ἀλλ' οὐ δι' ἑαυτὰ τότε, ἐκ δὲ φιλανθρωπίας, ἢ εὐσεϐείας, ἢ τοῦ καθήκοντος, ἢ τῆς ἐξ ἔθους χρονίου συνοικειώσεως, καὶ ἑτέρων τινῶν τοιούτων ἀλλοτρίων αἰτίων κινουμένη, οὐ παύεται αὐτὰ περιθάλπουσα· αὐτὰ γὰρ καθ' ἑαυτὰ τὰ τοιαῦτα γεννήματα, ζωὴν ζῶντα καὶ φυτοῦ χεῖρω, καὶ εἰς μηδὲν ἄξιον ἀναθάλλοντα, καὶ μηδεμίαν πρόοδον ἐνδεικνύμενα, οὐ πέφυκεν ἀναφλέγειν καὶ διατηρεῖν τὸ πῦρ τῆς ἀγάπης ἐν τῇ τῶν ἄλλων ψυχῇ.

§. 236. Ὁμοίως δ' ἔχει καὶ περὶ τῆς ἐκ τῶν παίδων πρὸς τοὺς τεκόντας στοργῆς καὶ φιλίας. Διατί ὁ υἱὸς καὶ ἀνδρωθεὶς ἀγαπᾷ τὸν γέροντα αὐτοῦ πατέρα, ὥσπερ καὶ ὅτε τὴν τῶν μειρακίων ἡλικίαν διήνυεν; ὅτι ὁ πατὴρ οὐκ ἐφάπαξ μόνον ὤφθη φιλοστοργήτας περὶ τὸν υἱόν, οὐδ' ἐν μιᾷ ἡμέρᾳ ἀπηλλάγη τῆς περὶ τὸν υἱὸν μερίμνης, τὸ πατρικὸν ἐκπληρώσας καθῆκον· ἀλλὰ διετέλεσεν ἀεὶ γρηγορῶν ὑπὲρ αὐτοῦ καὶ ἐγκαρτερῶν, πολλά τε καὶ πολυειδῆ ἐπιδειξάμενος, ὅπως τὸ οἰκεῖον ἔργον ὡς κάλλιστα ἐξεργάσηται· ἐν ἑκάστῃ γὰρ ἡμέρᾳ φροντίδα ἀεὶ τὴν προσήκουσαν ἀνενδότως ἀνελάμϐανεν, *ἀταλὸν ἀμφέπων θυμόν*, προσφιλῶς δηλαδὴ περισκέπων τὴν νεαρὰν αὐτοῦ ψυχὴν καὶ τὴν ἀκηδῆ νηπιότητα, μεθ' ἣν ἐπῆλθον αἱ παραινέσεις, μετρούμεναι φρονίμως καὶ ὡς πρὸς τὰς ὁρμὰς τῆς νεότητος, καὶ ὡς πρὸς τὸν λόγον ἔπειτα τῆς τελειοτέρας ἡλικίας. Ἀλλὰ καὶ ἀνδρὶ γενομένῳ μυρίας χάριτας αὐτῷ κατέθετο διὰ τῶν περιϊόντων οἱ ἀγαθῶν, τοῦ πλούτου καὶ τῆς εὐδοξίας καὶ τῆς συστάσεως. Πρὸ δὲ πάντων ἔθελγε μὲν αὐτοῦ ἡ ἀγαλλίασις εὐδαιμονιζομένου, ὅτι

ἐν ἀγαθῷ υἱῷ ἐπιζήσεται· ηὔφραινε δὲ καὶ ἡ ἀχώριστος καὶ εἰλικρινὴς συμπάθεια ἔν τε ταῖς εὐτυχίαις καὶ ἐν ταῖς δυστυχίαις. Ταῦτα δὴ οὐ χάρις τις ἀκαριαία ἐστὶν εἰς τὴν τοῦ υἱοῦ ψυχὴν, ἀλλὰ μακρὰ καὶ πολυειδής· διὸ καὶ ἄσβεστον διατηρεῖ καὶ ἀειθαλῆ τὴν πρὸς τὸν πατέρα στοργὴν καὶ ἀγάπην.

§. 237. Διαρκεῖ ἄρα τὸ πάθος, ὅτι ἀεὶ ὑπὸ νέων ἀφορμῶν ἀνακαινίζεται, καὶ ὑπὸ ἀδιαλείπτων δειγμάτων στοργῆς ἀκραιφνοῦς ὑποθερμαίνεται. Εἰ δὲ τοὐναντίον ὁ πατὴρ ἐξομνύμενος τὸ πατρικὸν καθῆκον, βραχέα πάνυ ἐφρόντιζε περὶ τοῦ υἱοῦ, ἕτερόν τι ἔχων προσφιλέστερον ἢ τὰ τέκνα αὐτοῦ, καὶ ψυχράν τινα μόνον ἀγάπην διὰ τὸ ἔθος μᾶλλον ἐπεδείκνυτο, κακὸς ὢν πατὴρ καὶ ἄστοργος, τότε οὐκ ἔστιν ὅπως ἐπαγάγηται τὴν ψυχὴν τοῦ παιδὸς, ἴσῃ ἀδιαφορίᾳ καὶ αὐτοῦ ἀνταμείβοντος τὸν γονέα. Μισεῖ μὲν γὰρ ἴσως οὔ· οὐ γὰρ κακοποιὸς ὤφθη αὐτῷ ὁ πατήρ· ἀλλ' ἐπειδὴ ἐλάχιστα εὐηργέτησεν ἐν ἐπιπολαίῳ στοργῇ καὶ παντελεῖ ἀδιαφορίᾳ, διὰ τοῦτο καὶ αὐτὸς ψυχρότερον ἀεὶ διατελεῖ πρὸς τὸν ἄνθρωπον διατιθέμενος. Τοῦτο μὲν οὖν τὸ κατὰ φύσιν γινόμενον, ἄλλως τε καὶ εἰ μικρόν τι πατρώζοι τὸ τέκνον, τουτ. ὁμοίως τῷ πατρὶ τῶν ἱερῶν καθηκόντων ἀφροντιστοίη, καὶ ψυχὴν ἀτέραμνον ἔχοι καὶ ἀβέλτερον καὶ ἀφιλότιμον. Ἐὰν δ' ἀγαθῆς φύσεως οἱ παῖδες ὦσι τετυχηκότες, τότε καὶ ὅσα ποτ' ἔλαχον παρ' αὐτοῦ, ἐπὶ τὸ ὡς μέγιστον ἐκτιμῶντες καὶ περὶ πλείστου εὐγνωμόνως ποιούμενοι, οὐ διαλείπουσιν ἀζόμενοι τὸν αἴτιον τῆς αὐτῶν ὑπάρξεως, καὶ μεγάλα ἀντ' ἐλαχίστων ἀντιπελαργοῦντες προθύμως· ὃ δὴ φύσεως ἐπιεικοῦς καὶ ἀρίστης ἄν τις θείη κατόρθωμα.

§. 238. Οὕτως οὖν τὰ πάθη κατ' ὀλίγον ἀποσβέννυται, ὅταν μὴ νέα ὕλη ἀεὶ πρὸς διατήρησιν ὑποβάλληται. Ἐκ δὲ τούτου συμβαίνει τισὶ νωθρῶς ἔχουσι φύσεως καὶ ὑπὸ μηδενὸς σχεδὸν κινουμένοις, εἰς παντελῆ ἀπάθειαν περιΐστασθαι καὶ ἀταραξίαν ψυχῆς καὶ ἀδράνειαν. Οὐ λέγω δὲ τὴν ἀταραξίαν ἐκείνην τὴν προερχομένην ἐκ σωφροσύνης καὶ ἀνδρείας· οὐδαμῶς ἐπιλάμπει ἐνταῦθα τὸ ἀκύμαντον καὶ γαληνιαῖον τοῦ ἤθους, ὃ διασώζει ἀνὴρ παθαινόμενος

SISMANOGLIO MEGARO



μὲν σφόδρα, κατασβεννὺς δὲ τὴν ζάλην διὰ τῆς ἰσχύος τοῦ λόγου. Λέγω δὲ μᾶλλον τὴν ἀπονάρκωσιν καὶ παράλυσιν τοῦ ἐνδομύχου βίου, ἣ νόσος τις καὶ λύμη ἐςὶν ἠθικὴ, ὅλην τὴν ψυχὴν κατανεμομένη ἐς βάθος. Τοιαύτη γάρ ἐστιν ἡ *ἀθυμία*, ἡ καὶ λύπης καὶ ἡδονῆς μικρὸν καὶ ἀκροθιγῶς ἀπογευομένη, ἡ μήτ' ἔρωτος μήτ' ἀποστροφῆς ὁρμὴν δραστήριον πάσχουσα, ἀλλὰ χαύνοις τισὶ καὶ ἀβληχραῖς πνοαῖς ὑποῤῥιπιζομένη· ἡ καὶ οὐδεμιᾶς ἴσως λύπης ἢ ἡδονῆς ἐν τῷ βίῳ ἐπαισθανομένη, ἐάν τι μικρὸν πλέον αὐξηθῇ, ἀλλ' ἐπαηδιάζουσα καὶ προσοχθοῦσα αὐτῷ, καὶ τέλος εἰς βιαίας παραφορὰς καταστρέφουσα. Ὅταν γὰρ ὁ ἄνθρωπος ἀθυμῇ πρὸς πάντα τοῦ βίου τὰ πράγματα, καὶ μηδὲν περὶ ἑαυτὸν εὑρίσκῃ τὸ ψυχαγωγοῦν, πάντα οἱ ἄρα τετέλεσται καὶ οἴχεται, καὶ ζῆν τοῦ λοιποῦ οὐκ ἀνέχεται. Ἅλις ταῦτα περὶ τῆς τῶν παθῶν ὑφέσεως.

§. 239. Δ^ον. *Ὁποῖόν τι τὸ πάθος ἀποβαίνει, ἐξ ἐπισφαλοῦς γεννώμενον δόξης.*—Ὑπάρχει μὲν ἀληθῶς τά τε ἀγαθὰ καὶ τὰ κακὰ, ἀλλ' οὐκ ὀρθὴν δόξαν ἔχομεν ἀεὶ περὶ τούτων· νῦν μὲν γὰρ μείζω, νῦν δὲ ἧττω εἶναι τῆς ἀληθείας αὐτὰ νομίζομεν· ἐνίοτε δὲ καὶ ὅπου οὐκ ἔνεστιν, ἐκεῖ ταῦτ' ἐνορῶμεν ταῖς φαντασίαις ἐξαπατώμενοι· συμβαίνει δέποτε καὶ οὕτω συγχέειν αὐτὰ, ὥστε θάτερον ἐκλαμβάνειν ἀντὶ θατέρου. Ἐν ἄρα τῇ τῶν ἀγαθῶν καὶ τῶν κακῶν ἐπαισθήσει πλανώμεθα, ἢ διότι σφαλερῶς μετροῦμεν τὴν ἀξίαν αὐτῶν ἐξ ὑπερβολῆς ἢ ἐλλείψεως· ἢ διότι καὶ παντάπασι κρίνοντες περὶ αὐτῶν ἀστοχοῦμεν τῆς ἀληθείας.

§. 240. Πρόκειται οὖν καταδεῖξαι ἀκριβῶς ὅπως αἱ πλάναι αὗται ἐνεργοῦσι πρὸς ἃ διεγείρουσιν ἐν ἡμῖν πάθη. Καθόλου δὲ διττῶς ἁμαρτάνομεν ἐνταῦθα, ἤτοι κακῶς καὶ παρὰ τὴν δικαίαν ἀξίαν τὰ ἀγαθὰ καὶ τὰ κακὰ διατιμῶντες, νῦν μὲν τὰ ἐλάσσω αὔξοντες ὑπὲρ ὃ δεῖ, νῦν δὲ τὰ μεγάλα σμικρύνοντες· ἢ κακῶς τὴν φύσιν αὐτῶν διορίζοντες καὶ τὴν ἐν τοῖς πράγμασιν ἀλήθειαν διαστρέφοντες. Πρῶτον μὲν οὖν ἴδωμεν τί συμβαίνει τῷ πάθει, ὅταν ὁ νοῦς ἀγαθὰ μὲν νομίζῃ τὰ κακὰ, κακὰ δὲ τὰ ἀγαθὰ, διαστρέφων οὕτως ὀλεθρίως τὴν φύσιν τῆς ἀληθείας. Ἡ γοῦν ἀταξία αὕτη ἡ ἐν τῷ νοεῖν ἀντηχεῖ καὶ εἰς αὐτὸ τὸ πάθος, καὶ τὸν νοῦν ἅπαξ

σκοτίσασα, παρεκτρέπει καὶ τὴν καρδίαν· ὁ γὰρ τὸ κακὸν ὡς ἀγαθὸν ἐκλαμβάνων, διώκει αὐτὸ ἀσμένως καὶ ἀσπάζεται καὶ ζητεῖ· διαστροφὴ δὲ αὕτη τῆς τοῦ πάθους ῥοπῆς, ὡς δέον μισεῖν καὶ ἀπωθεῖσθαι τὴν κακοποιὸν ταύτην αἰτίαν, ἀλλ᾽ οὐχὶ περιπτύσσεσθαι μεθ᾽ ἡδονῆς· ἀντιβαίνει οὖν τῇ κατὰ φύσιν τάξει τῶν πραγμάτων, καὶ ἔστι παράλογον καὶ ψευδὲς, καί που καὶ τερατῶδες ἂν ἀποβαίη. Πῶς γὰρ οὐ δεινὸν, εἴ τις τὴν κακίαν ὑποδέχοιτο καὶ φιλοφρονοῖτο ὁμοίως τῇ ἀρετῇ; ἀταξία οὖν αὕτη εἰδεχθής τε καὶ ἀποτρόπαιος, ἄνω κάτω στρέφουσα τοὺς τεθειμένους ὑπὸ τῆς φύσεως ὅρους· οὐδὲν γὰρ ἀπεικὸς οὕτω, μὰ τὴν ἀλήθειαν, καὶ τὴν ἀρετὴν ἀποποιεῖσθαι καὶ βδελύσσεσθαι. Καίτοι φιλανθρωπίας μὲν ἔργον καὶ ἀρετῆς τελειοτέρας τὸ διακρίνειν ἐν τῷ πονηρῷ ἀνθρώπῳ, τί μέν ἐστι τοῦ ἀνθρώπου, τί δὲ τοῦ πονηροῦ· ὥστε τὸ μὲν, οἰκτείρειν καὶ ἐλεεῖν· τὸ δὲ, μυσάττεσθαι καὶ ἀποδιοπομπεῖσθαι· ἀποδέχεσθαι ὅμως τὸν φαῦλον καὶ ἀξιοκατάκριτον, ᾗ τοιοῦτος, καὶ αὐτὴν ἀγαπᾷν τὴν μοχθηρίαν ἐν τῷ μοχθηρῷ, τοῦτο οὐκέτι ἐστὶν ἐπιείκεια, ἀλλ᾽ ἀνανδρία καὶ χαμέρπεια καὶ διαστροφή. (α) Τὸ γὰρ κακὸν φύσει μισητέον ἐστὶν, ὅταν φαίνηται ἀληθῶς οἷόν ἐστιν· ἄλλως γὰρ τὸ πάθος ἄτοπόν ἐστι καὶ παράλογον.

§. 241. Τὰ αὐτὰ δὲ ῥητέον καὶ ὅταν τις λαμβάνῃ τὸ ἀγαθὸν ὡς κακόν· τυφλότης δὲ οἰκτρά ἐστιν ἡ τοιαύτη, τὸ ἀποστρέφεσθαι ὡς βλαβερὰ τὰ ἀληθινὴν παρέχοντα ἡμῖν ὠφέλειαν· σφάλλεται οὖν κἀνταῦθα τὸ πάθος, ὡς φεῦγον τὸ διώξεως ἄξιον. Αὐτίκα γὰρ τί ἂν ἀτοπώτερον γένοιτο, ἤπερ εἴ τις ὀργίζοιτο ὡς ἐπὶ ὕβρει τινὶ τῇ εὐεργεσίᾳ, καὶ μαίνοιτο κατὰ τῆς δωροφορούσης χειρὸς, ἣν ἀσπάζεσθαι μᾶλλον ὤφειλε; μανία δὴ τὸ τοιοῦτο πάθος ἐστὶ, καὶ ἔξω δήπουγε τῆς καθεστώσης τάξεως παραφέρεται. Ἀλλὰ περὶ μὲν τοῦ πρώτου τρόπου, δι᾽ ὃν τὸ πάθος ἐστὶν ἐπιλήψιμον, εἰρήσθω τοσαῦτα· φέρε δὲ εἴπωμεν καὶ περὶ τοῦ δευτέρου, ἧττον μὲν ὄντος ἐπιβλαβοῦς, ἀξίου δὲ ὅμως μνήμης καὶ τούτου.

(α) « Καὶ Ἀριστοτέλης ὀνειδιζόμενος, ὅτι πονηρὸν ἄνδρα εὐηργέτησεν· οὐ τὸν τρόπον, ἔφη, ἀλλὰ τὸν ἄνθρωπον ἠλέησα· ἢ, οὐ τῷ ἀνθρώπῳ, ἀλλὰ τῷ ἀνθρωπίνῳ ἐχαρισάμην. » Ὅρ. Διογ. Λαέρτ.

SISMANOGLIO



§. 242. Διασταθμώμεθα δ᾽ ἐπισφαλῶς τὰ ἀγαθὰ καὶ τὰ κακὰ ὡς πρὸς τὴν ἀξίαν, ὅταν τὴν μὲν φύσιν αὐτῶν οὐ παραλλάττωμεν, τὴν δὲ διάρκειαν ἢ τὴν ἰσχὺν ὑπεραύξωμεν ἢ ἐλαττῶμεν παρ᾽ ὃ δεῖ, ἐξ ἀπερισκεψίας ἢ προλήψεως ἢ ἐμπαθείας ἀδίκου παραλογιζόμενοι. Κἀνταῦθα οὖν ἡ διαστροφὴ τοῦ πάθους, ὀρθῶς μὲν κινουμένου, σφοδρότερον δὲ τοῦ δέοντος, ἐκ τῆς τοῦ διανοητικοῦ πλάνης ἐκπηγάζει· ὅταν γὰρ ὑπερβολὴ ἐνῇ τῷ νοήματι, ἡ αὐτὴ κακία καὶ ἐν τῷ παθήματι ἀντιδίδοται, καὶ οὐδαμῶς τὸ μέτριον τηρεῖται, ἀλλὰ παραφορὰ προκύπτει ἔξω τῶν ἐνθέσμων ὁρίων. Ὥστε τὸ πάθος ἐν τούτοις ψευδὲς μὲν οὐκ ἔστιν· (ὑφίσταται γὰρ ἡ κινοῦσα ἀφορμή·) ἀλλ᾽ ὑπέρμετρόν ἐστι καὶ ἀκατάσχετον· καὶ ὅταν μὲν περὶ ταπεινὰ πράγματα ὑπερβάλλῃ, τότε παιδαριῶδές ἐστι μόνον καὶ γελοῖον· ὅταν δὲ καὶ μείζοσιν ἀναμιγνύηται καὶ δεινοτέροις, τότε φοβερὸν καθίσταται καὶ ἐλεεινόν. Ἀλλ᾽ ἐν ἑκατέροις ἐστὶ κακὸν, ὡς ἄτοπον καὶ δυσανάλογον πρὸς τὴν τῶν ὄντων ἀξίαν. Καὶ ταῦτα μὲν ὅταν ἐξ ὑπερβολῆς ἁμαρτάνωμεν.

§. 243. Σφάλλεται δὲ τὸ ἐπιθυμητικὸν, καὶ ὅταν ὁ νοῦς ψευδῶς διατιμᾷ τὰ αγαθὰ καὶ τὰ κακὰ ἐξ ἐλλείψεως, καταβιβάζων αὐτὰ πέραν τοῦ μέτρου καὶ σμικρύνων. Ὁ δὲ φύσει ῥέπων πρὸς τοιαύτην καταφρόνησιν, καὶ εἰς τὸ *μηδὲν* ἀνάγων σχεδὸν αὐτὰ, ὁ τοιοῦτος οὔτε χαίρει οὔτε λυπεῖται ἀξίως τῆς τῶν πραγμάτων οὐσίας, καὶ ἐκ δόξης ψευδοῦς φρεναπατώμενος, ἀπαθέστερον διάκειται πρὸς αὐτὰ, καὶ ἀκηδίᾳ συζῇ. Ἀλλ᾽ ἐὰν ἡ ἀληθὴς τάξις ἀπαιτῇ μηδὲν πάσχειν, ἔνθα οὔτ᾽ ἀγαθὸν οὔτε κακὸν διεγείρει ἡμῖν τὸ φίλαυτον εἰς ἐνέργειαν, ἀταξία πάντως ἐστὶ τοὐναντίον, ὅταν ἠρεμῶμεν ἀκίνητοι ἐν πράγμασι πολὺ τὸ διάφορον ἔχουσι, καὶ κινεῖν σφόδρα ἀξίοις οὖσι διά γε τὴν ἑαυτῶν φύσιν· διέστραπται γὰρ τὸ πάθος, ὅταν μεγάλοις μὲν καὶ πολυτιμήτοις ἀγαθοῖς παροῦσιν ἥκιστα ἢ πάνυ μικρὰ χαίρῃ· δεινοῖς δὲ κακοῖς περικυκλοῦσι, μηδὲν ἢ ἐλάχιστον κινῆται. Ἐνορᾷν γὰρ ἐνταῦθα *ἦθος τὸ Στωϊκὸν*, καὶ ἐν τάξει ἀρετῆς τίθεσθαι τὴν τοιαύτην ἄλογον ἀπάθειαν, ἐκ πλάνης προερχομένην καθυβρίζειν ἐστὶ τὴν ἀρετὴν καὶ τὴν ὄντως Στωϊκὴν ἀπάθειαν, ἐξ ἐνεργείας καὶ δραστηριότητος μετὰ λόγου κατορθουμένην. Ἄφρων

γὰρ ἂν εἴη καὶ ἠλίθιος, ὁ μηδὲν δάκρυ κατασπένδων, μηδὲ στεναγμὸν μίαν ἀφιείς, ὅταν τὰ τιμιώτατα καὶ τὰ φίλτατα ἀποβάλλων, μηδὲν οἴηται ἀπολωλεκέναι, καὶ ἀναισθητῇ ἀπεκτηνωμένος. Φρονήσεως γὰρ ἔργον ἐστὶν οὐχὶ τὸ διατίθεσθαι περὶ τὰ μέγιστα ὁμοίως τοῖς ἐλαχίστοις, ἀλλὰ τὸ μετρίως καὶ ἐγκρατῶς παραδίδοσθαι τῇ λύπῃ. (α) Οὐχ ἧττον δὲ μωρὸς καὶ νήπιος ἔσται, καὶ ὁ μεγάλης μὲν εὐποτμίας λαχών, ἐλάχιστα δὲ χαίρων ἐπ' αὐτῇ, ὡς φαύλῃ τινὶ καὶ συνήθει. Ἡ γὰρ τοιαύτη διάθεσις ἀκηδίαν ἐλέγχει, ἐγγύτερον οὖσαν τοῦ θανάτου ἢ τῆς ζωῆς, καὶ ἤθους ἔκλυσιν μᾶλλον ἢ φρονήματος γενναιότητα, ὡς τοῦ συνειδότος ἐνταῦθα ἐκλείποντος καὶ ἀποσβεννυμένου. Πῶς γὰρ οὐκ ἔσται δεινόν, εἴπου ψυχρῶς ὁρῶν τις, ἐν ἴσῳ τιθεῖτο καὶ τὸν τὴν πίστιν γενναίως ἐνδεικνύμενον, καὶ τὸν τὴν προδοσίαν χαμερπῶς ἀσπαζόμενον· τὴν μέν, ἀρετὴν ἀξιάγαστον καὶ ἐπαινετὴν οὖσαν· τὴν δέ, κακίαν βδελυρὰν καὶ ἀποτρόπαιον; Διέφθορεν οὖν αὐτῷ καὶ διέστραπται τὸ παθητικόν, ὡς ὑπνῶττον ἔνθα γρηγορεῖν προσῆκεν.

§. 244. Ἐπεὶ δ' ἐκ τῶν προηγουμένων δῆλον ὅπως τὸ πάθος σφάλλεται περί τε τῆς φύσεως, περί τε τῆς ἀξίας τῶν φιλητῶν καὶ τῶν μισητῶν, νῦν μὲν παρὰ τὴν ἀλήθειαν βάλλον, νῦν δὲ ὑπὲρ τὸ δέον ἐπιτεῖνον ἢ ἀνιέν, καὶ ἐγγυτέρω ἢ πορρωτέρω ἐπιτοξαζόμενον τοῦ σκοποῦ, οὐ δυσχερές ἐστι συνιδεῖν, ὅπως ἂν εἴη ἐν τάξει καὶ ἀσφαλῶς φέροιτο. Πρῶτον μὲν γὰρ δεῖ τὰ δοκοῦντα εὐάρεστα ἢ δυσάρεστα, ὠφέλιμα ἢ βλαβερά, τοιαῦτα καὶ κατὰ φύσιν καὶ ἀληθῶς εἶναι· δεύτερον δέ, διαγνωσθέντα, οἵας ἐστὶ φύσεως, μηδέν τι πλέον ἢ ἔλαττον τῆς ἀξίας διατιμᾷν. Οὕτω γὰρ τὸ πάθος ἀπηλλαγμένον μὲν ὑπερβολῆς ἢ ἐλλείψεως, οὔτ' ἐξαιρόμενον δηλαδὴ οὔτε καταπίπτον, τέμνον δὲ τὴν μέσην

(α) Ἀριστ. Ἠθ. Νικ. Βιβ. Α. κεφ. ι, τιθεὶς τὴν εὐδαιμονίαν οὐχὶ ἐν τῇ ἀδρανείᾳ καὶ νεκρώσει, ἀλλ' ἐν τῇ κατ' ἀρετὴν ἐνεργείᾳ, λέγει· « Λύπας τε γὰρ ἐπιφέρει καὶ ἐμποδίζει πολλαῖς ἐνεργείαις (τὰ μεγάλα δηλ. καὶ πολλὰ ἀτυχήματα·) ὅμως δὲ καὶ ἐν τούτοις διαλάμπει τὸ καλόν, ἐπειδὰν φέρῃ τις εὐκόλως πολλὰς καὶ μεγάλας ἀτυχίας, μὴ δι' ἀναλγησίαν, ἀλλὰ γεννάδας ὢν καὶ μεγαλόψυχος. Εἰ δ' εἰσὶν αἱ ἐνέργειαι κύριαι τῆς ζωῆς, (τουτ. ποιοῦσι ῥοπὴν τῆς ζωῆς·) . . . κτλ. »

SISMANOGLIO MEGARO



καὶ χωροῦν ἀναλόγως, πέφυκε τηρεῖν τὴν προσήκουσαν εὐθύτητα καὶ δικαιοσύνην, ὃ δὴ αὐτὴ ἡ τάξις ἐν ἐνεργείᾳ ἐστί· τοῦ ἀληθοῦς γὰρ σκοποῦ καταστοχάζεται, οὔτ' ἐνδέον, οὔθ' ὑπερβάλλον, ἀλλὰ τότε μόνον σφοδρῶς ἐξαπτόμενον, ὅταν τὰ παρακαλοῦντα αὐτὸ τοιαύτην ἔχῃ τὴν φύσιν. Φυλάξεται δὲ ἔνθεν μὲν τὸ βίαιον καὶ παράβολον, ὡς τὴν παραφορὰν ἀεὶ ὑπερβολὴν οὖσαν· ἔνθεν δὲ τὸ ἄψυχον καὶ νεκρόν, ὡς τὴν ἀδράνειαν ἀεὶ ἔλλειψιν οὖσαν. Ἔσται τοίνυν ἔμψυχον μέν, ἀλλὰ καὶ ἀκύμαντον· καὶ μέτριον μέν, ἀλλὰ καὶ σύντονον· ἐν ἅπασι γὰρ ἡ τοῦ κινητοῦ διάθεσις ἀποδώσει ἀληθῶς τὴν φύσιν καὶ τὴν δύναμιν τοῦ κινοῦντος.

Τοιοῦτο δὴ τὸ πάθος ἐστὶν εὖ διεξαγόμενον.

---

## ΚΕΦΑΛΑΙΟΝ Βον. (Ἀκολουθία.)

### 2ον. *Περὶ τῆς παθήσεως θεωρουμένης ἐν τοῖς μερικωτέροις αὐτῆς τρόποις, τοῖς ἐκ τῶν γενικωτέρων προερχομένοις.*

§. 245. Ἐν μὲν τοῖς προειρημένοις ἐθεωρήσαμεν τὸ πάθος αὐτὸ καθ' αὑτό, ὑποδείξαντες ἁπλῶς καὶ ἐν γένει, τίνα ὁρμὴν φέρεται καὶ τίνα πορείαν μετέρχεται, ἡδέως ἢ ἀηδῶς διατιθέμενον, μηδὲν εἰπόντες περὶ τῶν ὧν ὁρίσταται τρόπων μερικώτερον ὡς ἐκ τῆς φύσεως τῶν πρὸς ἃ ἀναφέρεται φιλητῶν τε καὶ μισητῶν. Καιρὸς δὲ νῦν καὶ ταύτην ποιήσασθαι τὴν ἐπίσκεψιν, τὰς ἐντεῦθεν ἐπαλλαγὰς τοῦ πάθους ἐξετάζοντας. Δύο δὲ μέγιστα εἴδη ἐν τοῖς κτίσμασι διαστέλλεται, ὧν ὑπέρκειται καὶ ἡ ἀπειροτέλειος καὶ ἄκτιστος οὐσία· Ταῦτα τοίνυν τὰ ὄντα κινεῖ τὸν ἐν ἡμῖν ἔρωτα, καὶ ἐξίστησι τῆς ἀπαθείας. Εἴτε γάρ τις κατοπτεύων ἀμέσως, εἴτε συνάγων συλλογιστικώτερον ταῦτα, πέποιθε φύσει μὴ ξένα τινὰ καὶ ἀλλότρια εἶναι πρὸς αὐτόν, ἀλλ' ἰσχυρῶς συνδεδέσθαι τῇ οἰκείᾳ ὑπάρξει· διὸ καὶ ἀδιαφορεῖν οὐ δύναται πρὸς τὰς ἀγαθὰς ἢ τὰς κακὰς τούτων ποιό-

τητας, ἀλλὰ συγκινεῖται πρὸς τὴν ἔννοιαν ταύτην καί τινα τρόπον διατίθεται. (α)

§. 246. Τὰ δ' ἐν τῷ σύμπαντι δύο εἴδη τῶν κτισμάτων, τάξεις δύο μεγάλας *δυνάμεων* δίδωσι, τὰς φυσικὰς καὶ τὰς ἠθικάς· ὧν αἱ μὲν τὴν κίνησιν μόνον ἔχουσιν· αἱ δὲ πρὸς τῇ κινήσει ἅμα καὶ τὴν συναίσθησιν, δι' ἧς καὶ ἐκείνην δύνανται διεξάγειν καὶ ἀπευθύνειν πρὸς τὸ οἰκεῖον τέλος. Ἵνα δὲ καὶ ἁπλούστερον εἴπωμεν, ἐν τῇ κτίσει τὰ σώματά ἐστι καὶ τὰ πνεύματα, ἢ ἡ φύσις καὶ ἡ κοινωνία, ἢ ἔτι τὰ παρὰ τὸν ἄνθρωπον καὶ ὁ ἄνθρωπος. Ἡ δὲ διαίρεσις αὕτη σύμπαντα ἁπλῶς περιλαμβάνει· καὶ γὰρ τὰ ἄλογα ζῶα (β) ἐχόμενα

(α) Πολλαχοῦ ἡμῖν λέγεται ὅτι ἡ πάθησις προϋποτίθησι τὴν εἴδησιν καὶ γνῶσιν τοῦ ὀρεκτοῦ. Ὅρ. δὲ μάλιστα § 70 καὶ § 208. Διὸ οὐκ ἀπεικός ἐστιν ὑποδεῖξαι ἐν παρόδῳ τὴν σύγχυσιν τοῦ ὀρεκτικοῦ πρὸς τὸ βουλητικὸν παρὰ τοῖς ἀρχαιοτέροις Ψυχολόγοις. Πλεῖστοις γὰρ ὅσοις συμφώνως τάδ' ἀναγράφει καὶ ὁ σοφὸς Βλεμμίδης ἐν τῷ περὶ Ψυχ. «Θέλησις γάρ ἐστι ῥοπὴ πρὸς τὸ ἐφετὸν μετ' εἰδήσεως καὶ κρίσεως· ἤγουν ὄρεξις πράγματός τινος μετὰ τοῦ τὸν ὀρεγόμενον εἰδέναι τὸν ὀρεκτόν . . . Οὕτω τοι καὶ ἡ ἐπιθυμία ὄρεξις· τὸ δ' ἐπιθυμητὸν ὀρεκτόν . . . Ἡ τοίνυν ἁπλῶς ὄρεξις . . . ἐν τοῖς λογικοῖς, ἐν οἷς μόνοις τὸ εἰδέναι καὶ κρίνειν, ὀνομάζεται θέλησις. Οὐκ ἄλλο δὲ θέλησις, καὶ ἄλλο βούλησις· ὅτι μηδὲ (γρ. οὐδὲ) τὸ θελητὸν ἄλλο παρὰ τὸ βουλητόν. Θέλησις μὲν οὖν ὄρεξις λογική . . . Αὐτεξούσιος ἡ ψυχὴ διότι τὸ λογικὸν ἅπαν καὶ αὐτεξούσιον.» Ἀλλὰ πῶς ἐστι ποτ' ἐπιθυμῆσαί τινος πράγματος τὸν μηδαμῶς τοῦτ' εἰδότα καὶ μηδεμίαν περὶ αὐτοῦ κρίσιν ὀρθὴν ἢ ψευδῆ ποιούμενον; κρίνομεν οὖν περὶ τῶν ὀρεκτῶν, ἢ τῶν ἀγαθῶν ἡμῖν δοκούντων· ἀλλ' ἡ πρὸς ταῦτα ὁρμὴ αὐτοφυὴς ὅλως καὶ ἀβούλητός ἐστιν· οὐ γὰρ τῶν ἐφ' ἡμῖν ἐστιν ἡδέως ἢ ἀηδῶς διατίθεσθαι πρός τι· ἡ δὲ βούλησις, ἡ θέλησις, ἡ αὐτεξουσιότης νῦν μὲν συνεργεῖ τῇ ὁρμῇ ἢ ὀρέξει ταύτῃ, νῦν δὲ τοὐναντίον ἀντιστρατεύεται. Ἀλλ' ὅρ. ἐν τῷ περὶ Ἐλευθ., ὅπου τὸ ἀληθὲς καὶ τὸ ἀγαθόν, τουτ. τὸ νοητὸν καὶ τὸ ἐφετόν, δείκνυται ὂν ἅμα καὶ βουλητόν. §. 307.

(β) Περὶ τῆς τῶν ἀλόγων ζώων νοήσεως ῥηθήσεται ἡμῖν πλατύτερον ἐν τῷ βῳ. βιβλ. τῆς προκειμένης Ψυχολογίας, ὅπου αἱ σχέσεις τῆς αὐτότητος πρὸς τὴν ἑτερότητα ἐξετάζονται· ἤδη δὲ λέγομεν ἐν ἐπιτόμῳ, ὅτι καὶ τὰ ζῶα νοεῖ, καὶ οὐσίαν ἄρα νοητικὴν ἐν ἑαυτοῖς ἔχει· ἀλλ' ἀνὰ μέσον τῆς λογικῆς ψυχῆς τοῦ ἀνθρώπου, καὶ τῆς αἰσθητικῆς ἁπλῶς τῶν ζώων μέγα χάσμα ἐστίν· ὅτι ὁ μὲν ἐκ τοῦ λόγου καὶ τὸ ἠθικὸν ἔχει, δι' ὃ καὶ μόνον πέφυκε πρὸς ἀθανασίαν· τὰ δὲ οὐδὲν πράττει ἢ διανοεῖται, ὅ,τι καὶ μισθαποδοσίας ἂν εἴη ἄξιον ἐν ἑτέρῳ βίῳ, οὔτε ναοὺς εἰς Θεὸν ἱδρύμενα, οὔτε βίου ἁγιότητα ἐξασκοῦντα, οὔτε τῇ πρὸς ἄλληλα δικαιοσύνῃ νομίζοντα. Ἀπορήσειε δέ τις ἐκεῖνο, τί γίνεται ἡ ἐν αὐτοῖς αἰσθητικὴ μονάς, τοῦ θανάτου ἐπελθόντος. Ἀλλὰ τοῦτο νῦν ἐξωτερικὸν ἡμῖν ὅλως ἐστὶν ἀπόρημα, καὶ



τοῦ ἀνθρώπου καὶ τοῦ παρὰ τὸν ἄνθρωπον, κατά τι μὲν ὅμοια ὄντα αὐτῷ, κατά τι δ' ἑτεροῖα, ἐν τοῖς μεθορίοις οὕτως εἰπεῖν ἀμφοτέρων κείμενα, οὐ μόνον οὐκ ἀποκλείεται τοῦ καθ' ἡμᾶς συστήματος, ἀλλὰ καὶ διπλῆν ἐν τούτῳ χώραν κατέχει, τῆς τε διανοητικῆς καὶ τῆς φυσικῆς ζωῆς μετειληχότα.

§. 247. Α^ον. *Περὶ τῶν παθημάτων ὡς πρὸς τὴν φύσιν.*— Οὕτως οὖν κατὰ πρῶτον σκεψώμεθα ὅπως τὰ ὄντα, τὰ νοὸς καὶ βουλήσεως ἀμοιροῦντα, οἷον τὰ στερεά, τὰ ὑγρά, τὰ ἀέρια, καὶ τὰ παντοῖα τούτων συνθέματα, τὰ ὀρυκτά, τὰ φυτά, καὶ ἐν μέρει τὰ ζῶα, ἐνεργεῖ πρὸς τὸ ἐπαισθητικὸν ἢ τὸ παθητικὸν ἡμῶν, καὶ ὅπως μεταποιεῖ τὰς διαφόρους αὐτοῦ ὁρμὰς καὶ ὀρέξεις. Ἡ γὰρ ψυχὴ ἡμῶν ἀγαθὰς ἢ κακὰς κρίνουσα τὰς οὐσίας ταύτας, διατίθεται μὲν ἡδέως ἢ ἀηδῶς πρὸς αὐτάς, ἀλλ' οὐχ ὥσπερ ἂν διατεθείη πρὸς τὰ πρόσωπα, τουτ. τὰς νοητικὰς καὶ προαιρετικὰς αἰτίας. Διὰ τοῦτο θεωρεῖ μὲν ταῦτα ὡς εὐάρεστα καὶ δυσάρεστα, ὡς ὠφέλιμα ἢ βλαβερά, οὐδέποτε δὲ ὡς φίλους ἢ ὡς ἐχθρούς· οὔτε γὰρ χάριν οἶδεν αὐτοῖς τῆς ἣν παρέχουσιν ἡδονῆς, οὔτ' ἄμυναν μελετᾷ, εἴ τι τυχὸν ἐντεῦθεν λελύπηται· οὐ γὰρ εἰς αὐτὰ ὡς προαιρετικὰ ὄντα ἀναφέρει τὴν ἐκ τούτων ἐνέργειαν. Κατὰ φύσιν γὰρ διώκει μὲν ταῦθ' ἡδομένη, φεύγει δὲ τοὐναντίον λυπουμένη· ἀλλ' ὡς πράγμασιν ἁπλῶς ἀψύχοις αὐτοῖς χρωμένη καὶ οὐχ ὡς ἀνθρώποις, οὐδεμίαν ποτὲ πρᾶξιν ἐνδείκνυται περὶ αὐτῶν ὡς αὐτεξουσίων ὄντων καὶ διανοουμένων. Οὔτε γὰρ δεήσεις ἢ ἀπειλαὶ χώραν ἔχουσιν, οὔτε θωπεῖαι ἢ βίαι, οὔτε δείγματα εὐγνωμοσύνης ἢ ἀμύνης· ἁπλῆ δέ τις ἐγγεννᾶται διάθεσις πρὸς ἀντιποίησιν ἢ ἀπώθησιν ὑλικῆς

ἐκ τῆς Ψυχολογίας εἰς τὴν Μεταφυσικὴν παρεκτρέπει· ἴσως μὲν γὰρ καὶ σβέννυται παντάπασι καὶ μεταπίπτει εἰς τὴν πρόσθεν ἀναισθησίαν, πληρέστατα μᾶλλον αὐτοματεῖ τὸν ἐνταῦθα διαγεγραμμένον αὐτῇ ὁρισμόν· ἴσως δὲ καὶ προπαιδαγωγηθεῖσα μὲν ἐκ τῆς φυτικῆς ζωῆς, μεταβᾶσα δὲ εἰς τὴν ζωϊκήν, ἐπιδεκτικωτέρα καθίσταται καὶ τελειοτέρας προόδου· ἀχλὺς δ' ἐνταῦθα πυκνὴ καὶ γνοφερὰ ἡμῖν ἀμφικέχυται. Ἀλλὰ τὴν περὶ τούτου χορδὴν ἴσως ἄκαιρον ἂν εἴη ἐντονώτερον κρούειν ἀπὸ τοῦδε τοῖς μήπω κατηρτισμένοις εἰς τὴν Φιλοσοφίαν. Ὅρ. καὶ §. 249. καὶ §. 296.

τινος δυνάμεως, *ὄρεξίς τις* ἢ *βδελυγμία* οὖσα, (α) ἃ δὴ παθήματα φυσικά ἐστι καὶ οὐδὲν πλέον.

§. 248. Ὅταν δ᾽ οὐχ ὡς ὠφέλιμά τις, ἀλλ᾽ ὡς καλὰ σκοπῇ ταῦτα· (ἔχοι γὰρ ἂν ἀμφοτέρας τὰς ἀρετάς·) τότε οὐχ ἁπλῶς ὀρέγεται ἢ βδελύσσεται, ἀλλ᾽ ὑπὸ φιλοκαλίας ποιητικώτερον παθαίνεται. Καίτοι τὸ ποιητικὸν τοῦτο πάθημα πρὸς τὰ ἄψυχα οὐχ οἷον πρὸς τὰ πρόσωπα διεγείρεται. Οὐ γὰρ ἁλίσκεταί τις λίθου τινός, ὅσον περ ἂν καλλίστη δοκῇ· θαυμάζει δὲ μόνον αὐτὴν καὶ χαίρει μὲν ἐπὶ τῇ θέᾳ, καί πως εὐμενέστερον διατίθεται πρὸς αὐτήν· ἀλλ᾽ ἔργον τοῦτο φιλοκαλίας ἐστί, διαφέρον τὰ μέγιστα τῆς λεπτοτέρας ἐκείνης γλυκυθυμίας καὶ ἱλαρότητος, ἣν πέφυκεν ἐνδιεγείρειν ἡ ἔμψυχος καὶ ζῶσα καλλονή, οἵα ἐστὶν ἡ γυναικός τινος αἰδήμονος, ἢ παιδός τινος κομψοῦ καὶ εὐτραπέλου. Ἡ γὰρ πρὸς τὰ ἄψυχα ὁρμὴ καὶ συγκίνησις ὁμοιότροπος μὲν οὕτως ἐστὶ τῇ πρὸς τὰ ἔμψυχα, ὡς ἐν *διαστολῇ* καὶ *ἔρωτι* καὶ *ἐπιθυμίᾳ* ὁμοίως προϊοῦσα, οὐκ ἔστιν ὅμως ἰσόμετρος καὶ ἰσοβάθμιος· οὔτε γὰρ ἐξ ἴσου ἐστὶ ζωηρά, οὔτε λεπτή, οὔτε βαθεῖα, οὔτε διαρκής, ὡς πρὸς ὑποκείμενον ἀναφερομένη τάξεως πολλῷ ὑποδεεστέρας. Τὰ αὐτὰ δὴ συμβαίνει καὶ ἐπὶ τῶν αἰσχρῶν καὶ δυσειδῶν· ἣν γὰρ ἐμποιεῖ ἀπάχθειαν καὶ βδελυγμίαν, διαφέρει τῆς ἀποστροφῆς τῆς ἐγγινομένης πρὸς ἄνδρα αἰσχρὸν τοὺς τρόπους καὶ χαμερπῆ, ἢ πρὸς πρᾶξιν εἰδεχθῆ καὶ ἀξιομίσητον· μετριώτερον γάρ τις καὶ ἀοργητότερον κινεῖται πρὸς τὴν τῶν ἀψύχων δυσμορφίαν.

§. 249. Τοιαῦταί εἰσιν αἱ διαθέσεις ἡμῶν, μυριοτρόπως ἐπαλ-

(α) Δυοῖν ὀνομάτοιν δεῖ πρὸς δήλωσιν τῆς ἐπιθυμίας καὶ τῆς ἀποστροφῆς ὡς πρὸς τὰ ἄψυχα· χρῶνται δὲ οἱ Γάλλ. τῷ appétit καὶ τῷ repugnance, ἃ ἐγὼ μὲν ὡς ἐν τῷ κειμένῳ ἀπέδωκα· εἰ δέ τις ἕτερος κρεῖττόν τι ἀντικαθιστᾷν ἔχοι, εἰπάτω. Ἀντὶ δὲ τῆς βδελυγμίας εἶπον ἀλλαχοῦ καὶ ἀηδίαν καὶ ἐπάχθειαν· ἐπαχθὴς μὲν γὰρ ἂν λέγοιτο μᾶλλον ἐπὶ τῶν ἀψύχων· ἀπεχθὴς δ᾽ ἐπὶ τῶν προαιρετικῶν ὄντων. Τὸ δ᾽ ὄρεξις δοκεῖ εὐστόχως ἔχειν· ὡς καὶ παρὰ Μαξίμ. Τυρ. Λογ. ΚΖ. δ᾽. « Ἔστω τοίνυν ἔρως μὲν κάλλους, ἐπιθυμία δὲ ἡδονῆς. Ὁ τοίνυν κάλλους ἐρῶν, ἆρα οὐκ ἐπιθυμεῖ αὐτοῦ; καὶ μάλα· σχολῇ γὰρ ἂν εἴη τι ἄλλο ὁ ἔρως, εἰμὴ ὄρεξίς τις. Παραιτοῦμαι δὲ τοὺς σοφοὺς τῆς τῶν ὀνομάτων θήρας, εἰ τὸ αὐτὸ νῦν μὲν ὄρεξιν, νῦν δὲ ἐπιθυμίαν καλῶ. Ἐγὼ γὰρ τά τε ἄλλα καὶ ἐν τῇ τῶν ὀνομάτων ἐλευθερίᾳ, πείθομαι Πλάτωνι . . . »

SISMANOGLIO MEGARO



λάσσουσαι καὶ διαποικιλλόμεναι τοῖς γε καλῶς τὴν διάνοιαν ἐφιστᾶσιν, ὡς πρὸς τὰ ὀρυκτά, τὰ φυτὰ καὶ τὰ ζῶα· μάλιστα δὲ ὡς πρὸς τὰ ζῶα, ὧν τινα πολλὴν μὲν φέρει ὀργανικὴν καὶ διανοητικὴν ὁμοιότητα πρὸς τοὺς ἀνθρώπους· οὐδέποτε ὅμως ἢ ἀγαθὰ καὶ κακὰ θεωρούμενα διαθήσει ἡμᾶς, ὥσπερ ἐκεῖνοι. Ἔχει μὲν γὰρ νόησιν καὶ θέλησιν, ἀλλ᾽ οὐχ ὅσον ὑψοῦσθαι καὶ εἰς ἀξίαν *προσώπου* (ἀδύνατον δὲ φίλον καλεῖν ἢ ἐχθρὸν τὸ μὴ *πρόσωπον* ὄν·) ἀεὶ γὰρ τὸ πλεῖστον μέρος τῶν ὧν περαίνει, ἐξ ὁρμῆς προέρχεται κτηνώδους καὶ τυφλῆς· τὸ δὲ δίκαιον ἢ τὸ ἄδικον, τὸ ἐπιεικές, ἢ τὸ ἀπάνθρωπον, ταῦτα δὴ οὐδέποτε οὔθ᾽ ὁρᾷ οὔτε διανοεῖται· ὥστε ἀγαθά ἐστιν ἢ κακὰ ἡμῖν μᾶλλον ἐκ τῆς φύσεως καὶ κράσεως αὐτῶν, ἢ ἐκ διανοήσεως καὶ προαιρέσεως· καὶ ἡμεῖς δὲ ὡς τοιούτοις χρώμεθα τούτοις.

§. 250. Αὕτη μὲν οὖν ἐστιν ἡ ἀλήθεια τῶν πραγμάτων, ὅταν μὴ ποιητικώτερον ἢ νηπιωδέστερον ἀλλοιῶμεν τὴν φύσιν αὐτῶν, περιάπτοντες διὰ τῆς φαντασίας τὰ μὴ ὑπάρχοντα. Τὸ δὲ τὸ πᾶν ἐμψυχῶσαι, τὸ πᾶν ζωοποιῆσαι, τὸ πᾶν ἀνθρωποποιῆσαι, καὶ ὁρᾶν τὰ ἐν τῇ κτίσει ἀλλοῖα ἢ ἔστι, ψυχὰς λογικὰς πανταχοῦ ἀναπλαττομένους, καὶ πνευμάτων αὐτὴν ἐμπιπλᾶν, νύμφας τε καὶ νηρηΐδας καὶ δαίμονας ἐνοικίζειν ἐν τοῖς ἄντροις καὶ τοῖς δρυμῶσι καὶ τῷ ἀέρι, τοῦτο παραμορφάζον τὴν τῶν ὄντων ἀλήθειαν, ἀλλοιότερον καὶ τὴν γνώμην εἰκότως ποιεῖ μετατίθεσθαι· τὸ γὰρ προσωποποιεῖν τὰ στοιχεῖα, καὶ λόγον περιτιθέναι τοῖς ἀλόγοις, καὶ ἐξανθρωπίζειν οὕτως εἰπεῖν τὸν ὑλικὸν κόσμον, ἀπάτημά ἐστι τοῦ νοὸς καὶ παῖγμα τῆς φαντασίας, διεγεῖρον κατ᾽ ἀνάγκην καὶ πάθη διάστροφα καὶ πεπλανημένα. Ἀλλ᾽ ἐν ὅσῳ ὁρῶμεν τὰ πράγματα τῆς φύσεως οἷά ἐστι, φυσικώτερα καὶ τὰ παθήματα μόνον συλλαμβάνομεν, καὶ οὐδέποτε φιλήσομεν ἢ μισήσομεν τὰ ζῶα, τὰ φυτὰ καὶ τὰ ὀρυκτά, ὥσπερ τοὺς ὁμοίους ἡμῶν.

§, 251. Ἀλλὰ διατί, καὶ προκειμένης ἴσης ὠφελείας ἢ βλάβης, ἀσθενέστερον καὶ ἐπιπολαιότερον διατιθέμεθα πρὸς τὰ ἀπροαίρετα ὄντα ἢ πρὸς τὰ προαιρετικά; Πεποίθαμεν γὰρ ὅτι αἱ δυνάμεις αἱ ἁπλῶς μόνον ἐνεργοὶ οὖσαι, οὐκ ἔχουσιν ὅπως βλάπτωσιν ἢ ὠφε-

λῶσιν ἡμᾶς, λυπῶσιν ἢ τέρπωσι τοσοῦτον, ὅσον αἱ δυνάμεις αἱ πρὸς τῇ ἐνεργείᾳ καὶ νοὸς καὶ ἐλευθερίας εὐμοιροῦσαι, καὶ διὰ τοῦτο πολυμηχανώτεραι οὖσαι καὶ εὐπορώτεραι πρός τε τὸ ἀγαθὸν καὶ τὸ κακὸν παρὰ τὰ ἄλογα καὶ ἀναγκαστὰ ὄντα. Τὰς μὲν γὰρ ποιότητας σώματός τινος μικρὰ πεῖρα διδάσκει, ὅπως ἡμᾶς διατιθεῖσι, καί πως τὸ μέτρον ἔχομεν σύμπαντος τοῦ ἐξ αὐτῶν ἐνδεχομένου ἔργου· τὴν δ' ἐλευθέραν καὶ λογικὴν οὐσίαν ἀγνοοῦμεν μέχρι πόσου προχωρήσει ἐπὶ τὸ ὠφελεῖν ἢ τὸ βλάπτειν· κεύθει γὰρ ἐν ἑαυτῇ ἀπειρίαν ἀγαθῶν ἢ κακῶν διανοημάτων. Διὰ ταῦτα δὲ καὶ ἴση αὐτόχρημα ἀλγηδὼν ἢ ἡδονή, διαφόρως καθάπτεται ἡμῶν τῆς ψυχῆς, καὶ ἑτερότροπον ἐν ἡμῖν τὸ πάθος ἐντίκτει. (α)

§. 252. Τοιαῦτα δή ἐςι τὰ *φυσικὰ παθήματα*. (β) Ἐνταῦθα δὲ κατατακτέον καὶ πάσας τὰς ἐξ ὁρμῆς ἢ ἕξεως διαθέσεις καὶ κλίσεις, καθ' ἃς διώκειν ἢ φεύγειν πολλάς τινας ὑλικὰς οὐσίας οἷον φύσει τινὶ φερόμεθα. Οὕτω γάρ, ἵνα τῇ τῶν αἰσθητηρίων τάξει κατακολουθήσωμεν, ἐνίοις μὲν τῶν βρωμάτων χαίρομεν, ἑτέροις δέ τισιν ἀηδιζόμεθα· καί τινα μὲν χρώματα καὶ σχήματα ἀρέσκει ἡμῖν, ἕτερα δὲ τοὐναντίον ἀπαρέσκει· καὶ τοὺς μὲν τῶν ἤχων ἀσμένως ἀκούομεν, τοὺς δὲ ὡς ἀλγεινοὺς καὶ ὀχληροὺς ἡμῖν ἀποφεύγομεν· καὶ τῶν μὲν ὀσμώμενοι ἡδόμεθα· τῶν δὲ πάλιν ὀχλού-

(α) Διὰ τοῦτο ἄρα πλέον διατιμῶμεν τὴν ἐκ τῶν προσώπων εἰς ἡμᾶς ἐνέργειαν, ἢ τὴν ἐκ τῶν ἀλόγων καὶ ἀψύχων, ὅτι εἰς τὴν προαίρεσιν αὐτῶν ἀποβλέποντες, τὸ παρὸν ὡς προοίμιον μειζόνων μετὰ ταῦτα πραγμάτων λογιζόμεθα. Συνήθως δὲ τήνδε τὴν αἰτίαν ἀποδιδόαμεν, ὅτι τὰ μὲν προαιρετικὰ ὄντα δύνανται καὶ μὴ πρᾶξαι, ὃ πράττουσι· τὰ δέ, κατ' ἀνάγκην δρᾷ. Ἀλλ' αὖθις λείπεται ἐρωτᾶν τίς ὁ λόγος τούτου ἐστί; διατί φέρ' εἰπεῖν τὸ δυνάμενον μὲν μὴ βλάψαι με, βλάψαν δέ, μᾶλλον λυπεῖ, ἢ τὸ βλάψαν ἴσον βλάβην ἐξ ἀνάγκης τινός; Ὁ οὖν μὴ ἀρκούμενος τῷ ἀορίστῳ λόγῳ, οὕτω πεφύκαμεν, ἐκείνην ἀποδώσει τὴν αἰτίαν, ὅτι οὐχ οὕτω λυπεῖ ἡμᾶς τὸ παρόν, ὡς τὸ ἐντεῦθεν προμηνυόμενον μεῖζον καὶ ἀπέραντον κακόν. Διὰ τοῦτο καὶ τὰ μὴ ἐκ προμελέτης ἐςὶ συγγνωστά, ὥσπερ καὶ τὰ ἐν μεταμελείᾳ ἐξομολογούμενα· οὐ γὰρ εἰς τοὔπιον δυσμενῆ διάθεσιν ὑποκρύπτει.

(β) Φυσικὰ παθήματα ἢ πάθη affections physiques λέγεται τὰ διεγειρόμενα ὑπὸ τῆς φύσεως, ἢ τῶν αἰσθητῶν ὄντων· ἀντιδιαςέλλεται δὲ πρὸς τὰ διανοητικὰ ἢ ἠθικά, ἃ ἡμῖν ἐγγίνεται ἐκ Θεοῦ καὶ τοῦ ἀνθρώπου. Ὅρ. §. 253. καὶ §. 257.

© SISMANOGLIO MEGARO



μεθα· καὶ τῶν ἁπτῶν δὲ διαφόρως ἀντιλαμβάνεται ἕκαστος, ὡς ἐκ τῆς ἐν αὐτῷ εὐπαθείας ἢ δυσπαθείας, ἁβρότητος ἢ σκληραγωγίας, εὐεξίας ἢ καχεξίας. Ἔτι δὲ καὶ ἐν τοῖς ἐντοσθίοις ἀσαφέςερον καὶ δυσδιακριτώτερον τινὰ μὲν ἥδιον, τινὰ δ' ἀλγεινότερον ἡμᾶς διατίθησι. Ταῦτα γάρ που ἐςὶ τὰ κυριώτερα τῶν *φυσικῶν παθημάτων*. Εἰ δέ τις αἱροῖτο μὴ μᾶλλον διαιρεῖν ἔκ γε τῶν αἰσθητηρίων, ἀλλὰ σύνθετα λαμβάνειν καὶ συλλήβδην, οἷά ἐστιν ἀληθῶς, οὐκ ἀναλύων αὐτὰ εἰς τὰ ἐξ ὧν σύγκειται, ἀλλὰ σκοπούμενος ἣν ἔχει φύσιν τὸ πάθος τὸ ὑφ' ἑκάστου τούτων ἡμῖν ἐνδιεγειρόμενον, τότε διανεμεῖ κατὰ τὰ τρία μεγάλα γένη ἢ βασίλεια τοῦ σύμπαντος. Οὕτω δ' ἔχομεν τὰς διώξεις ἢ φυγὰς τῶν ὀρυκτῶν, τῶν φυτῶν καὶ τῶν ζώων, παθήματα οὔσας οὐκ ἤδη ὀχλοῦντα ἢ ἡδύνοντα τὸν οὐρανίσκον, τὸν ὀφθαλμὸν κτλ., ἀλλὰ σύμμικτόν τι πάθος ἡμῖν ἐνεργαζόμενα ἐκ τῶν περὶ αὐτὰ διαθέσεων πασῶν ἡμῶν τῶν αἰσθήσεων. Ἐπεὶ δ' ἐν τοῖς τρισὶ τούτοις τῆς φύσεως γένεσι τὸ διατιθὲν καὶ κινοῦν ἡμᾶς, νῦν μὲν ἢ ὠφέλιμον τοῦτο ποιεῖ, νῦν δ' ἢ καλόν, ἑκάτερον δὲ ποικιλοτρόπως, διὰ τοῦτο ἔςι καὶ ἑτέρως διελεῖν τὰ πάθη, εἰς τὰ *περὶ τὸ ὠφέλιμον* καὶ εἰς τὰ *περὶ τὸ καλόν*, ἢ εἰς τὰ *φιλοκερδῆ* καὶ εἰς τὰ *ἀνεπικερδῆ*, ἢ ἀκριβέστερον εἰς τὰ *οἰκονομικὰ* καὶ εἰς τὰ *φιλόκαλα*, καὶ οὕτω καθεξῆς, ὡς ἐςιν ἐξ ἑτέρων τινῶν ἰδιοτήτων καὶ ἄλλως πως διαιρεῖν.

§. 253. Βον. *Παθήματα ὡς πρὸς τὴν κοινωνίαν*.—Ταῦτα μὲν οὖν περὶ τοῦ παθητικοῦ θεωρουμένου ὡς πρὸς τὴν φύσιν, ἢ τὰ *φυσικὰ* ὄντα τῆς κτίσεως. Σκοπῶμεν δὲ νῦν αὐτὸ καὶ ὡς πρὸς τὸ δεύτερον εἶδος τῶν κτισμάτων, τὰ *ἠθικὰ* ὄντα. Ἀλλὰ τίποτ' ἐςὶ τὰ ἠθικὰ ὄντα; μᾶλλον δὲ τίποτ' ἐςιν ὁ ἄνθρωπος, τὸ κατ' ἐξοχὴν ἠθικὸν ὄν; τί ἐσμὲν αὐτὸς καὶ οἱ ὅμοιοί μου; Φιλοσοφικῶς μέν, ἀγνοοῦμεν· ἤδη γὰρ συνίσταται, ἀλλ' οὔπω ἀπήρτισαι ἡ ἀκροτάτη σοφία ἡ ἐπιλύουσα τὸ ζήτημα τοῦτο· ἀπό γε μέντοι τῆς ὑγιοῦς αἰσθήσεως ἴσμεν πᾶν ὅ,τι ἀναγκαῖόν ἐςι πρὸς τὴν καθ' ἡμᾶς ὑπόθεσιν. Ἔςι γοῦν ὁ ἄνθρωπος πνεῦμα ἢ ψυχή, ὃ ἐςι δύναμις συναισθανομένη ἑαυτῇ ζῶσα καὶ ἐνεργοῦσα, ταὐτὸν εἰπεῖν διανοουμένη, παθαινομένη, βουλομένη καὶ δρῶσα· συνοικοῦσα δὲ καὶ χρωμένη

ὀργανικῷ τινι συςήματι, δρᾷ τε καὶ ἀντιδρᾷ δι' αὐτοῦ πρὸς τὴν θύραθεν φύσιν. (α) Τοιοῦτοι οὖν πάντες ἄνθρωποι, πλουτοῦντες τὴν νοητικὴν καὶ αὐτεξούσιον ἐνέργειαν, ἣ διακρίνει αὐτοὺς ἀπὸ τῶν ὄντων τῆς φύσεως.

§. 254. Ἡ δὲ τοιοῦτοι, νῦν μὲν ἡδονῆς, νῦν δὲ λύπης ἡμῖν εἰσιν αἴτιοι, τουτ. ἀγαθὰ ἢ κακά· οὐδὲν γὰρ κατὰ τοῦτο διαφέρουσι τῶν ἄλλων ἐπὶ γῆς πραγμάτων, ἃ συντείνοντα ἡμῖν ἢ ἀντιτείνοντα, ἀγαθὰ εἶναι ἢ κακὰ νομίζεται, καὶ ἡδέα ἢ λυπηρά. Καίτοι εἴπου ἐνῆν τὸν *αὐτοάνθρωπον* ἰδεῖν, αὐτὸν δηλαδὴ ἁπλῶς τὸν ἄνθρωπον, ἀπεκδεδυμένον πᾶσαν ἀτομικὴν καὶ ἰδίαν περίστασιν, καὶ μηδὲν προσωπικὸν τῇ ἀνθρωπείῳ φύσει συμβεβηκὸς ἀναμιγνύετο, ἃ δὴ πολλάκις ἀλλότριον ἡμῖν τὸν ἄνθρωπον καθιςᾷ, οἷον ἡ φυλή, ἡ πατρίς, ἡ θρησκεία, ἡ φρατρία, ἡ πολιτεία καὶ τὰ ἤθη, οὐδέποτ' ἂν ἡμῖν λυπηρὸν ἦν οὗτος, καὶ ἦμεν ἂν φύσει τε καὶ θέσει ἄκρως φιλάνθρωποι. Τεκμήριον δέ· ὅταν γάρ ποτε συμβαίνῃ ἡμῖν ἐξ ὁρμῆς τινος ἐπιεικοῦς καὶ γενναίας περιαιρεῖν τὰ περιστατικὰ ταῦτα, καὶ μόνον τὸ ὁμοειδὲς καὶ συγγενὲς τῆς φύσεως τηρεῖν ἐν τοῖς ἄλλοις, καὶ τέκνα νομίζειν πᾶν τὸ ἀνθρώπινον ἑνὸς καὶ τοῦ αὐτοῦ οὐρανίου Πατρὸς, τότε φιλάδελφοι καὶ εὖνοι γινόμεθα περὶ αὐτούς. Οὐμὴν ἀλλὰ καὶ ἡ τῆς κοινωνίας ὕπαρξις μαρτυρεῖ τῷ λόγῳ· φύσει γὰρ κοινωνικὸν ὢν ὁ ἄνθρωπος, διώκει τὸν ὅμοιον ἑαυτοῦ, συνδεόμενος οὕτως ἐκείνῳ μάλιστα τῶν δημιουργημάτων, ὃ τὰ μέγιστα

(α) Τοῦτο λέγει καὶ ὁ σύντομος ὁρισμὸς «ζῶον λογικόν,» ἀλλὰ συνεσκιασμένως. Ἕτεροι δ' εἶπον, «πνεῦμα χρώμενον ὀργάνοις, ἢ ὑπηρετούμενον ὀργάνοις.» Ἀλλ' ἐν τούτοις τοῖς ὁρισμοῖς οὐ καταφαίνεται ἡ ἀδιάκριτος ἕνωσις καὶ ἀνάμιξις τῆς ζωῆς τοῦ συναμφοτέρου τούτου ὄντος, ἐξ ἧς καί τισιν ἐπῆλθε δοξάζειν, ὡς οὐδέποτε ἡ ψυχὴ ἄνευ σώματος ἔςαι, λεπτοτάτου μέντοι γέ τινος καὶ ἀδιαφθόρου. (Ὅρ. Λεϊβνίτ.) Βοσσουέτος δὲ λέγει «οὐσία νοερὰ ζῆν ἐν σώματι καὶ ἰσχυρῶς αὐτῷ συνῆφθαι πεφυκυῖα.» Ἴσως δ' ἄμεινον καὶ συντομώτερον ὧδε: «οὐσία ἀόρατος ἐνεργοῦσα διὰ τοῦ σώματος, ἢ σὺν τῷ σώματι.» Τὸ δὲ σῶμα σύστημά ἐςι δυνάμεων ἀναισθήτων, τῶν μὲν χειρόνων, τῶν δὲ κρειττόνων, ὧν προεδρεύουσα καὶ ἡγουμένη ἡ ψυχή, ἀχωρίςως αὐτῶν δρᾷ πρὸς τὰς ἔξω δυνάμεις. Ἀλλὰ περὶ τούτου ἔςαι ἡμῖν λόγος πλατύτερον καὶ ἐν τῷ δευτέρῳ μέρει τῆς προκειμένης Ψυχολογίας.

SISMANOGLIO



αὐτὸν ὠφελεῖ εἰς τὴν ἐπίτευξιν τοῦ οὗ καταστοχάζεται τέλους, ἢ εἰς τὴν πλήρωσιν τοῦ κατ' αὐτὸν ὁρισμοῦ. (α)

§. 255. Ἡ γὰρ ἀνθρωπίνη κοινωνία μορφὴν μὲν καὶ τόπον μεταμείβεται, καὶ μυρίας μεταξὺ περιπτώσεις ὑφίςαται, πολλάκις δὲ καὶ ῥηγνυμένη τρομερῶς λύεται· ἀλλὰ μεταπίπτουσα οὕτως οὐκ οἴχεται πάμπαν οὐδ' ἐξαπόλλυται· ἵνα γὰρ ἄμεινον ἐκ δευτέρου συντεθῇ καὶ ἰσχυρότερον συγκροτηθῇ, διὰ τοῦτο ἀποσυντέθειται· οὕτω δ' ἀεὶ διὰ τοῦ χρόνου τελειοποιεῖται, νῦν μὲν ἐνταῦθα, νῦν δ' ἐκεῖ ἀναπτυσσομένη· καὶ νῦν μὲν ὑπὸ τὸ τοιόνδε εἶδος, νῦν δὲ ὑφ' ἑτεροῖον μετασχηματιζομένη, οὐδέποτε δὲ διαλείπουσα· ὃ γὰρ ἐν ταῖς φυσικαῖς οὐσίαις ἢ δυνάμεσίν ἐςιν ἡ βαρύτης, τοῦτο ἐν τοῖς ἠθικοῖς οὐσίν ἐςιν ἡ κοινωνία, ἕλκουσα πανταχοῦ καὶ συσσωματοῦσα εἰς ἓν τοὺς ἀνθρώπους. Ἵνα γὰρ ἡ κοινωνία παντάπασιν ἐκλίπῃ καὶ ἐξαφανισθῇ, αὐτὸν πρῶτον δεῖ τὸν ἄνθρωπον ἐκλιπεῖν, ὥσπερ καὶ ἵνα ἡ ἕλξις ἀρθῇ ἀπὸ τοῦ ὑλικοῦ κόσμου, αὐτὰς πρῶτον ἀνάγ-

(α) Ἀριςτ. Πολιτ. Βιβ. Α. κεφ. ά. 10. «Διότι δὲ πολιτικὸν ὁ ἄνθρωπος ζῶον πάσης μελίττης καὶ παντὸς ἀγελαίου ζώου μᾶλλον, δῆλον· οὐδὲν γάρ, ὡς φαμέν, μάτην ἡ φύσις ποιεῖ· λόγον δὲ (προφορικὸν δηλ.) μόνον ἄνθρωπος ἔχει τῶν ζώων. Ἡ μὲν οὖν φωνὴ (ἡ ἄναρθρος δηλ.) τοῦ λυπηροῦ καὶ ἡδέος ἐςὶ σημεῖον· διὸ καὶ τοῖς ἄλλοις ὑπάρχει ζώοις· μέχρι γὰρ τούτου ἡ φύσις αὐτῶν προῆλθεν, ὥςε αἰσθάνεσθαι τοῦ λυπηροῦ καὶ ἡδέος, καὶ ταῦτα σημαίνειν ἀλλήλοις· ὁ δὲ λόγος ἐπὶ τῷ δηλοῦν ἐςι τὸ συμφέρον καὶ τὸ βλαβερόν· ὥστε καὶ τὸ δίκαιον καὶ τὸ ἄδικον.» Ὥστε εἰμὴ κοινωνικοὶ φύσει ἦμεν, περιττὸν ἦν ἐν ἡμῖν ὁ λόγος. Ὅρ. δὲ καὶ Βιβ. Γ. κεφ. δ. 2. «Φύσει μέν ἐςιν ἄνθρωπος ζῶον πολιτικόν· διὸ καὶ μηδὲν δεόμενοι τῆς παρ' ἀλλήλων βοηθείας, οὐκ ἔλαττον ὀρέγονται τοῦ συζῆν. Οὐ μὴν ἀλλὰ καὶ τὸ κοινῇ συμφέρον συνάγει, καθ' ὅσον ἐπιβάλλει μέρος ἑκάςῳ τοῦ ζῆν καλῶς. Μάλιστα μὲν οὖν τοῦτ' ἐςι τέλος καὶ κοινῇ πᾶσι καὶ χωρίς, συνέρχονται δὲ καὶ τοῦ ζῆν ἕνεκεν αὐτοῦ, καὶ συνέχουσι τὴν πολιτικὴν κοινωνίαν· ἴσως γὰρ ἔνεςί τι τοῦ καλοῦ μόριον καὶ κατὰ τὸ ζῆν αὐτὸ μόνον, ἂν μὴ τοῖς χαλεποῖς κατὰ τὸν βίον ὑπερβάλλῃ (τὸ ζῆν δηλ.) λίαν. Δῆλον δὲ ὡς καρτεροῦσι πολλὴν κακοπάθειαν οἱ πολλοὶ τῶν ἀνθρώπων γλιχόμενοι τοῦ ζῆν, ὡς ἐνούσης τινὸς εὐημερίας ἐν αὐτῷ καὶ γλυκύτητος φυσικῆς.» Δείκνυται οὖν ἐνταῦθα τὸ κοινωνικὸν τοῦ ἀνθρώπου, Αον ἐκ τοῦ ἐνάρθρου λόγου. Βον ἐκ τοῦ ὁρμητικοῦ· Γον ἐκ τοῦ κοινῇ συμφέροντος· Δον ἐκ τῆς φιλοζωίας τῆς ἐμφύτου τῷ ἀνθρώπῳ. Ἀλλὰ τὰ δύο πρῶτά ἐςι τὰ γενναιότερα· προσθετέον δὲ μᾶλλον καὶ τὴν διανοητικὴν καὶ ἠθικὴν πρόοδον, ὡς ὁ ἄνθρωπός ἐςιν ἐπιδεκτικός, πάντως ἀπαιτοῦσαν τὴν τῆς κοινωνίας σύστασιν. Ὅθεν λέγει καὶ Βιβ. Α. κεφ. ά. 12. «Φύσει μὲν οὖν ἡ ὁρμὴ ἐν πᾶσι (τοῖς ἀνθρώποις δηλ.) ἐπὶ τὴν τοιαύτην κοινωνίαν.»

κη ἀφανισθῆναι τὰς φυσικὰς οὐσίας. Καὶ γὰρ αὐτὴ ἡ *μισανθρωπία*, ἡ μανιωδῶς ἀγωνιζομένη μὲν ἀποςροφῆς ἄξιον ἀποδεῖξαι τὸν ἄνθρωπον, οὐ δυναμένη δὲ κυρίως τοῦτο κατορθῶσαι, μῖσός ἐστι κατὰ μὲν τὸ δοκοῦν καθόλου πρὸς πᾶν τὸ ἀνθρώπειον· ἀληθῶς δὲ μερικὸν μόνον καὶ προσωπικὸν, λανθάνον ἴσως καὶ αὐτὸν τὸν μισοῦντα. Πολλάκις μὲν γὰρ ἐκείνην μόνον ἔχει τὴν ἀφορμὴν, τὰς κακίας καὶ τὰς διαστροφάς τινων ἀνθρώπων· πολλάκις δὲ καὶ πλανωμένη, ψευδῆ τινα χροιὰν περιτίθησι πάσῃ πράξει, ἀσμένως τὰ πάντα αὐτὴ μελαίνουσα καὶ κατασπιλάζουσα· οἰκτρὸς δ' οὗτός ἐστι παραλογισμὸς, ὅτι ἀπό τινων ἀνθρώπων μισητῶν σύμπαντας εἶναι μισητοὺς καὶ βδελυροὺς τίθεται τοὺς ἀνθρώπους. Ἀλλὰ σπανιώτατον δὴ τὸ τοιοῦτο, μηδαμῶς διασεῖον τὸ πάγιον τοῦ κοινωνικοῦ. Δῆλον οὖν ἐκ τῶν εἰρημένων, ὡς ὅταν ἐν τῷ ἀνθρώπῳ αὐτὸν ὁρῶμεν τὸν ἄνθρωπον, οὐκ ἀποβλέποντες δηλαδὴ πρὸς τὰς ἐπουσιώδεις καὶ ἀλλοτρίας περιστάσεις, ἀλλ' εἰς τὴν οὐσίαν καὶ τὸ τιηνεῖναι καὶ τὴν φύσιν αὐτοῦ, τότε ἀγαθὸν ἑαυτοῖς τοῦτον εἶναι ἡγούμεθα, καὶ χαίρομεν αὐτῷ καὶ φίλοι ἐσμέν.

§. 256. Συνήθως ὅμως ὁρῶμεν τοὺς λοιποὺς τῶν ἀνθρώπων καὶ μετὰ τῶν ἐπουσιωδῶν αὐτῶν γνωρισμάτων, ἐξ ὧν εἰς διαφόρους διακρίνονται τάξεις. Οἱ μὲν γὰρ τῆς δε εἰσι τῆς φυλῆς, οἱ δὲ τῆς δε τῆς χώρας, οἱ δὲ τῆς δε τῆς γενεᾶς· καὶ νῦν μὲν ἐν τῷ θρησκεύματι διαφέρουσι· νῦν δ' ἐν τῇ πολιτείᾳ, τοῖς ἤθεσι τοῦ βίου, τῷ γένει καὶ τῇ διαγωγῇ. Ἔπειτα δὲ καὶ ἐμφύτους ὁρμὰς καὶ ῥοπὰς ἔχουσιν ἕκαστος, ἢ ἕξεις προσγινομένας ἐξ ἔθους, ἃ δὴ μετὰ τῶν προϋποδεδειγμένων, καὶ πολλῶν ἑτέρων, οἷον τύχης, χαρακτῆρά τινα διάφορον παντάπασι δίδωσι καὶ αὐτὸ τοῦτο *ἄτομον* ἐν συνιςᾷ. Ἡ δὲ ἀτομικὴ αὕτη διάκρισις, ἢ ἀμείνω ἡμῖν καὶ οἰκειότερον ἀναδεικνύει τὸν ἄνθρωπον, ἢ τοὐναντίον χείρω καὶ ἀλλοτριώτερον, ὡς τῆς ἀνθρωπίνου φύσεως συμπνιγομένης παρ' ἡμῖν ὑπὸ τῶν συμβεβηκότων. Ἐκ τούτου οὖν παρὰ τὴν κοινωνικὴν φιλανθρωπίαν, ἢ τὸν ἔρωτα τοῦ πλησίον, καὶ ἕτερα ἡμῖν πάθη ὡς πρὸς τὸν ἄνθρωπον ἐπισυμβαίνει, ἢ ἐπιῤῥωννύντα καὶ αὔξοντα αὐτὴν, ἢ ἀποσβεννύντα καὶ εἰς τοὐναντίον μεταστρέφοντα. Ὅθεν



ἡμῖν ἐγγίνεται ταῖς ψυχαῖς πάντα τὰ πάθη, τὰ εὐμενῆ τε καὶ τὰ δυσμενῆ, ἢ τὰ εὔνοα καὶ τὰ δύσνοα, ὅσα ἡμῖν ἐνδιεγείρουσιν οἱ μεθ' ὧν συζῶμεν κοινωνικῶς.

§. 257. Διαφέρει δὲ, ὡς εἴρηται, τὰ κοινωνικὰ ταῦτα παθήματα τῶν πρὸς τὴν φύσιν ἀναφερομένων. Ἐνταῦθα γὰρ τὰ ἀγαθὰ ἢ τὰ κακὰ μετέχει νοὸς καὶ προαιρέσεως· διὰ τοῦτο καὶ τὰ πάθη τὰ πρὸς ταῦτά ἐςιν *ἠθικὰ*, ὡς πρὸς ἠθικὰ ὄντα ἀποτεινόμενα, οὐκέτι δηλαδὴ ἁπλαῖ ὀρέξεις ἢ ἀηδίαι φυσικαὶ, ἀλλὰ φιλίαι ἢ ἔχθραι παντοῖαι, ἐκ τῶν κοινωνικῶν ἐκφυόμεναι σχέσεων. Καὶ ἔστι μὲν ᾀεὶ κυρίως τὰ παθήματα ταῦτα χαρὰ, ἔρως καὶ ἐπιθυμία, ἢ λύπη, μῖσος καὶ ἀποστροφὴ, διήκοντα διὰ τῶν τριῶν τούτων βαθμῶν καθ' ἕλξιν ἢ ὦσιν· μετατρέπεται δὲ συμφώνως τῇ φύσει τῶν πρὸς ἃ ἀναφέρεται λογικῶν ὄντων, καὶ προαιρετικῶς ἐφ' ἡμᾶς ἐνεργούντων. Ψυχαὶ γάρ εἰσιν ἐνώπιον ψυχῆς, καὶ οὐ τυφλαὶ καὶ ἀναγκαςαὶ οὐσίαι. Διὰ τοῦτο καὶ πάντα τὰ ἠθικὰ παθήματα, κἂν ἄλλως διαφέρῃ ἀλλήλων ὡς πρὸς τὸν βαθμὸν καὶ τὴν εὐκρίνειαν καὶ τὴν ἐπέκτασιν κτλ., ἐκεῖνο ὅμως κοινὸν ἔχει, ὅτι ἐκφραστικά ἐςι, καὶ δὴ καὶ πολλάκις μετ' εὐφραδείας ῥητορικῆς προφαίνεται, εἰς ὃ προάγεσθαι ἀδυνατοῦσιν αἱ φυσικαὶ ὁρμαί. (α) Ἴσμεν γὰρ ὅτι πρὸς συνειδότας ἑαυτοῖς ἀποτεινόμεθα, καὶ διὰ τοῦτο τὴν ἔνδον διάθεσιν ἡμῶν ἑρμηνεύομεν. Καὶ ἁπλῶς γὰρ ὁ προφορικὸς λόγος παρ' ἀνθρώποις ἀπόχρη πολλάκις πρὸς ἐπίτευξιν τοῦ οἰκείου σκοποῦ, πρὸς κτῆσιν φίλων ἢ ἀπόκρουσιν ἐχθρῶν. Ὅταν δὲ τῷ λόγῳ καὶ τὸ ἔργον προστεθῇ, πληρέςερον ἐπιτυγχάνει αὐτοῦ τὸ τῆς διώξεως ἢ τὸ τῆς φυγῆς πάθος· ὡς οὐ μόνον ἐδηλώθη ἡ προαίρεσις, ἀλλὰ καὶ ἡ πρᾶξις ἐπῆλθεν ἐπίκουρος. Καί τοι ἐν πολλοῖς ἤρκεσεν ἂν καὶ μόνον ὁ λόγος εἰς πλήρωσιν τῆς ἐπιθυμίας.

(α) Ὅταν γὰρ ὀρέγωμαί τινος ἀψύχου ὄντος, ὅσον περ ἄν με σφοδρὸς αὐτοῦ κατέχῃ ἔρως, καὶ ὅσον περ ἂν μεγίςης ἡδονῆς ἐξ αὐτοῦ ἐμφορῶμαι, οὐδέποτε τὸ γλυκύθυμον τοῦτο πάθημα εἰς ἐκφράσεις ζωηρὰς παρακινήσει, ἐὰν μὴ φαντασία τις ἀναμιγνυμένη, ἐμψυχοῖ καὶ προσωποποιῇ τὸ ἄψυχον. Ταυτὰ δὲ ῥητέον καὶ περὶ τῶν ἀηδίαν ἡμῖν ἐμποιούντων, ἃ οὐδέποτε ἀναγκάσει μένεος μέγα φρένας ἀμφιμελαίνας πίμπλασθαι, ὄσσε δὲ πυρὶ ἐοικέναι, καὶ κερτομίοις ἐπέεσιν ὀνειδίζειν. Ὅρ. Σχ. §. 251.

§. 258. Διὰ ταῦτα δὴ, ὡς ἐν παρόδῳ εἰπεῖν, τὰ ἠθικὰ πάθη ἐςὶ ποιητικώτερα, ἢ τὰ αὐτόχρημα φυσικά. Φέρε γὰρ ᾆσόν μοι ἀκριβῶς, ὅ,τι πάσχεις ὑπὸ τῶν σωμάτων καὶ τῆς ὕλης· φαῦρόν τι καὶ πενιχρὸν ἔσται τὸ ἔμπνευσμα· ἡ γὰρ φύσις, κἂν ἡ φαντασία ὡς μάλιστα ταύτην ἐμψυχώσῃ, αὐτὸ τοῦτο φύσις ἐςὶ καὶ οὐδέποτε ἄνθρωπος, ὃς μόνος πέφυκε κινεῖν εἰς πάθη ἐπικὰ καὶ δραματικά. Ἐὰν γὰρ τὰ κινοῦντα τὴν ψυχὴν τοῦ ποιητοῦ ἀναισθητῇ, πῶς ἂν οὗτος ποιητικώτερον ἐκφράσειε τὸ ἐντεῦθεν πάθος, πρὸς ἀναίσθητα ὅλως ἀπευθυνόμενος; Ἀλλ᾽ ὅταν ἡ ἔκφρασις ποιήσεως μὴ μετέχῃ, τότε πεζή τις καὶ κοινὴ ἐςὶ φράσις, αὐτὴν μόνην τὴν χρείαν ἀποδιδοῦσα καὶ ἑρμηνεύουσα. Τὰ δὲ κοινωνικὰ πάθη τοὐναντίον, εἴτε σφοδρὰ καὶ ὑψηλά ἐςι, κάλλιστα πρὸς τὴν ποίησιν ἁρμόζοντα, εἴτε ἀσθενῆ καὶ ταπεινὰ, ὕλην ἀξιόχρεων τῇ τέχνῃ μὴ ὑποβάλλοντα, πάντα πλουτεῖ τὸ ἐκφραςικὸν, δι᾽ οὗ ἔχοι τις ἂν τοσοῦτον γοῦν εἰπεῖν πρὸς τὰ αὐτῶν ὑποκείμενα· *φιλῶ σε· ἐφίεμαί σου· ἢ μισῶ σε· ἀποστρέφομαί σε.* Ὅταν δὲ τὰ κινοῦντα ὑλικὰ ᾖ, φράζεται μὲν ἴσως τὰ τοιάδε, φράζει δὲ οὔ, *ἥδομαι ἢ ἀλγῶ· ὀρέγομαι, ἢ ἀηδίζομαι.* Ἀνόητα γὰρ ὄντα οὐδὲν ἐννοεῖ, καὶ διὰ τοῦτο ἔργου μόνον ἐνταῦθα δεῖ, οὐχὶ δὲ καὶ λόγου. Πρὸς δὲ τὰ διανοητικὰ ὄντα ἀποτείνομεν τὸν λόγον, δηλοῦντες αὐτοῖς πρότερον ὅ,τι παθαινόμεθα, τὰ μὲν εὐχόμενοι, ἱκετεύοντες, ἔρωτι στένοντες, εὐγνωμονοῦντες, καὶ πάντα ποιοῦντες, δι᾽ ὧν μαρτυροῦμεν τῷ ἀγαθῷ ἡμῖν δοκοῦντι τὴν ἐγκειμένην διάθεσιν· τὰ δὲ φωνὰς ἐκρηγνύντες, ἐξαγριούμενοι, ἐπιτιμῶντες, καταρώμενοι, ἐπαπειλοῦντες, καὶ πάντα λέγοντες, δι᾽ ὧν τὸν ἐχθρὸν ἡμῖν καταςέλλομεν. Γνώρισμα τοίνυν τῶν κοινωνικῶν παθῶν ἐςιν, ὅτι ἀποτείνεται πρὸς αἰτίας διανοητικὰς, χάριν ἢ μομφὴν ἐμφαίνοντα ταύταις. (α) Καθόλου μὲν οὖν εὔνοα ἢ δύσνοά ἐςιν· ἀλλ᾽ ἥτε εὔνοια καὶ ἡ δύσνοια ποικίλως ἐπαλ-

(α) Ἐνταῦθα εὔκαιρον μνησθῆναι τῆς πολυθρυλήτου διαφορᾶς, ἣν τίθησι Πασχάλης μεταξὺ τοῦ ἀνθρώπου καὶ τῆς φύσεως· ὅτι κἂν σύμπασα ἡ φύσις καταῤῥάξῃ (ecrase) τὸν ἄνθρωπον, τὸ καταῤῥασσόμενον πολλῷ τῇ ἀξίᾳ ὑπερανίςηκε τοῦ καταῤῥάσσοντος· τὸ μὲν γὰρ γινώσκει τὴν συντρίβουσαν δύναμιν· αὕτη δ᾽ ἀγνοεῖ παντάπασιν ὅ,τι τὸν ἄνθρωπον δρᾷ.

SISMANOGLIO



λάσσει κατὰ τὰς παραγωγοὺς αὐτῶν σχέσεις, ἐξ ὧν καὶ κατατάσσεται ἡμῖν ἐφεξῆς ὧδε.

§. 259. Α^ον. *Παθήματα ἔθνους πρὸς ἔθνος.*—Ὁμάς τις ἀνθρώπων, τό γε πλεῖστον ἀγνώςων ἐν μέρει, διατίθησιν ἡμᾶς εὐαρέςως ἢ δυσαρέςως, ὅτι ἐξ ἑτέρας ἠπείρου, ἢ πολιτείας ὄντες, διαφέροιεν ἂν ἡμῶν ἐν πολλοῖς, ἐν ταῖς ἐκ φύσεως ῥοπαῖς, ἐν ταῖς τέχναις, ἐν τῇ βιομηχανίᾳ, ἐν ταῖς ἕξεσι καὶ τοῖς ἤθεσιν, ἐν τῇ πολιτείᾳ, ἐν ταῖς θρησκευτικαῖς ὑπολήψεσιν, ἐν τῇ διαλέκτῳ κτλ. ἃ δὴ πάντα ἀθρόα λαμβανόμενα ἴδιόν τινα χαρακτῆρα συγκροτεῖ, τὸ *ἐθνικὸν ἰδίωμα* ἢ τὴν *ἐθνικότητα* καλούμενον. Ἡ δὲ τοιαύτη τῶν ἐθνῶν φύσις καὶ ἠθικωτέρα σύςασις οὐκ ἔςιν ἡμῖν ἀδιάφορον χρῆμα, κἂν ἄλλως πάνυ πόῤῥω ἡμῶν ᾖ κατά τε τόπον καὶ χρόνον, (α) καὶ μηδεμίαν ἄμεσον σχέσιν ἔχῃ πρὸς ἡμᾶς ἐνεργείᾳ· διὸ καὶ ἀρέσκει ἡμῖν ἢ ἀπαρέσκει. Ἀλλὰ τὸ συνηθέστερον συζῇ τὰ τοιαῦτα ἔθνη τῇ καθ᾽ ἡμᾶς κοινωνίᾳ, συνεργοῦντα ἢ ἀντενεργοῦντα πρὸς τὴν πολιτικὴν ἡμῶν ἀνάπτυξιν καὶ πρόοδον· ἀγαθὰ δὲ οὕτως ἢ κακὰ ὄντα, ἀδύνατόν ἐςι μὴ διατιθέναι ἡμᾶς ἡδέως ἢ λυπηρῶς περὶ τὸ φιλόπατρι· αὕτη οὖν ἱκανή ἐςιν ἀφορμὴ πρὸς τὸ διώκειν ἢ φεύγειν τοὺς ἑτεροδαπούς. Συμβαίνει μέντοι γε πολλάκις καὶ συγχρωτιζομένους αὐτοῖς ἐξακριβοῦσθαι τὰς πράξεις, καὶ τὸν βίον, καὶ τὰς δόξας, ὅπως αὐτὸς ἕκαςος ἔχει· ἡ δὲ τοιαύτη κατὰ μέρος καὶ ἀτομικὴ διατίμησις οὐκ ἐκκρούει παντάπασι τῆς ψυχῆς τὴν ἐξ ἀρχῆς ἐν ἡμῖν διάθεσιν, ἀλλ᾽ ἢ διπλασιάζει, συμφωνήσασα τοῖς καθ᾽ ὅλου τοῦ ἔθνους δοξαζομένοις· ἢ μεθίςησιν ἐπὶ τὸ μετριώτερον τὴν ἀντιδιάθεσιν, ἀντίφωνος εὑρεθεῖσα.

§. 260. Τοῦτο δὲ μάλιςα πάσχει τὰ ἔθνη τὰ ἀρχαιότροπα καὶ ἐνθουσιῶντα, ἃ διὰ πλείςου χρόνου φυλάττει τὸ ἔκπαλαι πάθος πρὸς τὰ φίλα ἢ τὰ ἀλλότρια ἔθνη, πολλάκις δὲ καὶ ῥήγνυται εἰς φορὰς ἀνεπισχέτους καὶ καταστρεπτικάς. Ἀλλὰ καὶ ὅταν ἡ ὁρμὴ καὶ ἡ πρόληψις ὑποχωρήσωσι τῷ ὀρθῷ καὶ σώφρονι λόγῳ, ἔςιν ὅτε ἐν πολέμῳ καὶ ἐν εἰρήνῃ, τὸ κοινῇ ἢ ἰδίᾳ συμφέρον, ἀναδίδωσιν

(α) Οὕτως οἱ πλεῖστοι μετιόντες τὰ τῶν ἀρχαίων, συμπαθέστερον διάκεινται πρὸς τοὺς Ἀθηναίους ἢ τοὺς Λακεδαιμονίους.

ἰσχυρὰ τὰ πρῶτα ἐκεῖνα πάθη, καὶ ἔμψυχοι ἐν αὐτοῖς τὸ φιλογενὲς καὶ φιλόπατρι εἰς εὐμένειαν ἢ δυσμένειαν. Ἀλλὰ γὰρ ὅσῳ μᾶλλον τὸ φιλανθρωπικὸν ἢ *κοσμοπολιτικὸν* δόγμα (α) ἐκνικᾷ, συνδέον εἰς ἀδελφοσύνην τινὰ σύμπαντας τοὺς ἀνθρώπους, τοσούτῳ ἔλαττον ἰσχύει ἡ φιλία ἢ τὸ ἔχθος, τὰ πρὸς τοὺς ἑτεροφύλους καὶ ἑτεροεθνεῖς ἐκ τυφλῆς πολλάκις καὶ ἀλόγου διαςολῆς ἐνδιεγειρόμενα· κατ' ὀλίγον γὰρ ἀπομαραίνεται καὶ ἐκλείπει διὰ τῆς εὐνομίας καὶ ἡμερότητος τῶν νεωτέρων πολιτειῶν, συμπνιγόμενα ἐν τῇ φιλίᾳ καὶ ἀγάπῃ, τῇ καθ' ὅλου τοῦ ἀνθρωπίνου γένους ἐκτεινομένῃ.

(α) Ὁ κοσμοπολιτισμὸς ἐνταῦθα ἐκλαμβάνεται ἐπὶ τῆς ἀγάπης τῆς πάντας τοὺς ἀνθρώπους ἀδελφικῶς συνδεούσης, καὶ τὰς μεταξὺ τῶν ἑτεροφύλων παραλόγους ἀλλοτριότητας ἐξαλειφούσης. Τοῦτο μὲν οὖν δόγμα θεάρεστον καὶ χριστιανικόν· ἀλλ' ὑπὸ τὸ ὄνομα τοῦτο πολλάκις καὶ δοξασίαι εἰσέρπουσιν ἀντιφιλόσοφοι καὶ ἀντικοινωνικαί, οἷον ἡ κοινοκτημοσύνη, ἡ κοινογαμία ἡ πανθρησκεία κτλ. Ταῦτα δὴ παραθέρμων κεφαλῶν ἐςὶν ἀποκυήματα, πολὺ τῆς Πλάτωνος πολιτείας ἀπολειπόμενα κατὰ τὸ χιμαιρικὸν καὶ ἀνυπόστατον. Ὅρα δὲ καὶ Ἀριςτ. Πολ. Βιβ. Β. κεφ. α'. καὶ δ'. « Δύο γάρ ἐςιν ἃ μάλιστα ποιεῖ κήδεσθαι τοὺς ἀνθρώπους καὶ φιλεῖν, τό τε ἴδιον καὶ τὸ ἀγαπητόν.... Ἔτι δὲ καὶ πρὸς ἡδονὴν ἀμύθητον ὅσον διαφέρει τὸ νομίζειν ἴδιόν τι· μὴ γὰρ οὐ μάτην τὴν πρὸς αὑτὸν ἔχῃ φιλίαν ἕκαστος.... Ἀλλὰ μὴν καὶ τὸ χαρίσασθαι καὶ βοηθῆσαι φίλοις ἢ ξένοις ἢ ἑταίροις ἥδιςον· ὃ γίνεται τῆς κτήσεως ἰδίας οὔσης· (τουτ. τηρουμένης τῆς ἰδιοκτησίας.) Ταῦτά τε δὴ οὐ συμβαίνει τοῖς λίαν ἓν ποιοῦσι τὴν πόλιν, καὶ πρὸς τούτοις ἀναιροῦσιν ἔργα δυοῖν ἀρεταῖν φανερῶς, σωφροσύνης μὲν τὸ περὶ τὰς γυναῖκας· ἔργον γὰρ καλὸν ἀλλοτρίας οὔσης ἀπέχεσθαι διὰ σωφροσύνην· ἐλευθεριότητος δὲ τὸ περὶ τὰς κτήσεις.... Εὐπρόσωπος μὲν οὖν ἡ τοιαύτη νομοθεσία, καὶ φιλάνθρωπος ἂν εἶναι δόξειεν· ὁ γὰρ ἀκροώμενος ἄσμενος ἀποδέχεται, νομίζων ἔσεσθαι φιλίαν τινὰ θαυμαστὴν πᾶσι πρὸς ἅπαντας, ἄλλως τε καὶ...» Ἄλογον τοίνυν καὶ ὀλέθριον κατά γε τοῦτο ἡ κοινοπολιτεία αὕτη, τὸ μὲν ὅτι διαμάχεται πρὸς τὴν ἔμφυτον ἡμῖν φιλαυτίαν· (ὅρ. § 298) τὸ δέ, ὅτι πολλὰς κοινωνικὰς ἀρετὰς καταστρέφει, καὶ τὸν ἄνθρωπον οὐχ ὅπως τελειότερον καὶ σπουδαιότερον ἀναδείκνυσιν, ὥσπερ οἴεται, ἀλλὰ καὶ ἀποκτηνοῖ καὶ διαφθείρει· ὅστις γὰρ ἐπὶ γῆς ἄγγελος εἶναι γλίχεται κτῆνος μᾶλλον καθίςαται κατὰ τὸν Πασχάλιον. Θαυμαστὸν μὲν γάρ που στέργειν πάντας τοὺς νεανίσκους ὡς ἰδίους παῖδας, ἀλλὰ πρὸς τοῦτο ἀποπέφυκεν ὁ ἐν τῷ ἀνθρώπῳ πεπερασμένος ἔρως, καὶ τοσαύτην ἀχανῆ ἀρετὴν οὐ χωρεῖ· οὐκοῦν περιγραφέσθω ἐν ἐλαχίςοις ὁρίοις, ἵνα αὔξῃ καὶ τελεσφορῇ· ἄλλως γὰρ ἐπὶ πλεῖςον ἐπεκτεινόμενος ἀνίεται, καὶ ἐπαρκεῖν μὴ δυνάμενος, ἀργὸς καὶ ἄγονος λείπεται. Ἀλλ' αὕτη ὑπόθεσις μᾶλλον ἂν εἴη τῆς Ἠθικῆς· ἐνταῦθα δὲ ὀλίγ' ἄττα ὑπεκρούσαμεν, ἵνα μὴ δόξωμεν ὀνειροπολεῖν ἀτοπίας. (des utopies.)

SISMANOGLIO



Τοιαῦτα μὲν οὖν ἐςὶ τὰ παθήματα τὰ ἐξ ἔθνους πρὸς ἔθνος· μεταβῶμεν δὲ νῦν ἐπὶ τὰ ἐν τῷ αὐτῷ ἔθνει ἐκ πολίτου πρὸς πολίτην.

§. 264. Βον. *Παθήματα πολίτου πρὸς πολίτην*.—Καὶ ἐν αὐτῇ δὲ τῇ ἑνότητι τῇ συγκροτούσῃ μίαν τινὰ πολιτείαν, μυρίαι εἰσὶν αἱ διαφορότητες, αἱ ποικίλας τάξεις ἀνθρώπων διδοῦσαι· τούτων δ' αἱ κυριώτεραί εἰσιν, ὥσπερ καὶ ἐν τῇ διακρίσει τῶν ἐθνῶν καὶ τῶν φυλῶν, τὸ θρήσκευμα, τὸ ἦθος, αἱ πολιτικαὶ δοξασίαι, τὸ ἐκ τῆς γενεᾶς καὶ τοῦ τάγματος αὔχημα, καὶ τὰ τοιαῦτα. Ὅθεν εὐνοοῦσι μὲν ἀλλήλοις οἱ συμπολῖται καὶ ὁμοεθνεῖς, ἢ μέλη ὄντες τῆς αὐτῆς κοινωνίας, καὶ τὰ αὐτὰ καθόλου συμφέροντα ἔχοντες· ἀλλ' ὡς ἐκ τῶν μερικῶν περιστάσεων καὶ τῶν πρὸς ἀλλήλους σχέσεων γεννῶνται καὶ διαθέσεις ἕτεραί τινες οἰκειότεραι ἢ ἀλλοτριώτεραι· ὃ γὰρ συνέχει τὴν κοινωνίαν ἐςίν, ὅτι πέποιθεν ἕκαςος, ὡς συμφέρει αὐτῷ ἐμμένειν τῇ ὁλομελείᾳ τοῦ ἰδίου ἔθνους, καὶ μὴ ἐκκοπῆναι ἀπ' αὐτῆς· ἄλλως γὰρ ἂν παραλιπὼν αὐτήν, ἑτέραν τινὰ κρείττω ἐζήτει. Ἀλλὰ παρὰ τὴν συνεκτικὴν ταύτην ῥοπὴν πάρεισι πολλαὶ κατὰ μέρος καὶ ἕτεραι ἀφορμαί, κινοῦσαι τοὺς πολίτας πρὸς ἰσχυροτέραν οἰκείωσιν καὶ συνάφειαν, ἢ τοὐναντίον ἀπαλλοτρίωσιν καὶ διάζευξιν. Ἐςὶ γὰρ ἐνορᾶν ἔν τισι κατὰ ταῦτα ἀγαθὰς ἢ κακὰς ποιότητας, ςέργειν ἢ μισεῖν αὐτοὺς ἀναπειθούσας· ςέργουσι δ' ἢ μισοῦσιν ἐνταῦθα οὐχὶ αὐτοὺς καθ' ἑαυτοὺς τοὺς ἀνθρώπους, ὧν τὴν προσωπικὴν ἀξίαν ὡς ἐπὶ τὸ πλεῖςον ἀγνοοῦσιν ἢ παραβλέπουσιν, ἀλλ' ὡς τῆςδε ὄντας τῆς δόξης, ἢ τῆςδε τῆς φατρίας ἢ τοῦδε τοῦ συστήματος κτλ. Τὸ γὰρ δαιμόνιον τῆς αἱρέσεως, πολλάκις μὲν κατὰ πρόληψιν, ἐνίοτε δὲ καὶ κατ' ἐπίγνωσιν τῆς ἀληθείας, εἰς τοιαύτας παρορμᾷ εὐνοϊκὰς ἢ δυσνοϊκὰς διαθέσεις. Οὕτω γὰρ εἴ που ἔν τινι πολιτείᾳ ἰσονόμῳ καὶ σοφῇ ἄνδρες τινὲς τυγχάνουσιν ὑπολαμβάνοντες, ὅτι τὸ αὐτογνωμόνως διοικεῖν ἐστι τὸ κράτιστον πάντων· καὶ δὴ καὶ πράττουσι συμφώνως τῇ κατ' αὐτοὺς θεωρίᾳ, πῶς οὐ δίκαιον τότε ἀντιφέρεσθαι καὶ θερμῶς πρὸς αὐτοὺς ἀντιπολιτεύεσθαι τοὺς μὴ συμφρονοῦντας, ὥσπερ καὶ τοὐναντίον ἄγασθαι καὶ ἀποδέχεσθαι τοὺς διοικεῖν ἀξιοῦντας διὰ τῶν ἀρχῶν τῆς δικαιοσύνης καὶ τῆς ἰσότητος;

§. 262. Καὶ συμβαίνει μὲν καὶ τοῖς ἔθνεσιν ἐνθουσιῶν ποτὲ καὶ σφόδρα παθαίνεσθαι πρὸς ἄλληλα· ἀλλὰ τὰ τοιαῦτα πάθη ἔχει τι συνήθως χλιαρώτερον καὶ ἀσθενέστερον· τὸ γὰρ ἑτεροεθνὲς πόῤῥωθέν ποθεν, οὕτως εἰπεῖν, ὑποκινοῦν καὶ ἀμυδρῶς διορώμενον, οὐκ ἀμέσως ἡμῶν καθάπτεται, ὡς εἴπου παρὸν ἐγγυτάτω. Διὰ ταύτην οὖν τὴν ἀπόστασιν οὐκ ἔμμονος ἡμῖν ἐντίκτεται οὔθ' ἡδονὴ ἢ λύπη, οὔτ' ἔρως ἢ ἀγανάκτησις πρὸς τὰ ἔθνη. Τὰ δὲ πάθη τῶν ἐπὶ τῆς αὐτῆς γῆς κοινωνούντων ἀλλήλοις ἐμψυχότερά ἐστι καὶ ἰσχυρότερα, καὶ ἐς μακρὸν χρόνον ἀνεξίτηλα διαμένει· ὁ γὰρ πόλεμος ἢ ἡ εἰρήνη οὐ πόῤῥω που ἐν τοῖς μεθορίοις ἐστίν, ἀλλ' ἐν τῷ αὐτῷ οἱονεὶ στρατοπέδῳ καὶ ἐκ τοῦ σταδήν· ὥστε καὶ πυκνότερον συμβαίνει τοῖς πολίταις βλέπειν ἀλλήλους, καὶ ῥᾷον εἶναι εὖ ἢ κακῶς ποιεῖν. Διὰ ταῦτα δὲ τούς τε φίλους τούς τε ἐχθροὺς τοὺς οἴκοι, θερμότερον φιλοῦμεν καὶ ἀποστρεφόμεθα, ἑταιρείας ἢ στάσεις ποιούμενοι, καὶ ἐν τοῖς καθ' ἡμέραν ἔργοις αὐτὰς ὑποτρέφοντες· τὸ δὲ πόῤῥω καὶ ἐν ἀλλοδαπῇ οὐχ οὕτως οὔτε φιλητόν ἐστιν οὔτε μισητόν· τὸ γὰρ ἀπὸν ἔλαττον ἡμᾶς διατίθησιν, ὡς σπανιώτερον εὐεργετοῦν τε καὶ ἐνοχλοῦν.

§. 263. Γʹ. *Παθήματα συγγενικά. Τίς ἡ καθαυτὸ φύσις τοῦ ἀνδρὸς καὶ τῆς γυναικός.*—Λάβωμεν δὲ νῦν καὶ τὰ παθήματα τὰ ἐν αὐτῇ τῇ ἑστίᾳ ἀναζωπυρούμενα. Ἀλλὰ πρῶτον τί ἐστιν ἡ οἰκία ἢ ἡ οἰκογένεια; τί πρὸ πάντων εἰσὶν οἱ σύζυγοι πρὸς ἀλλήλους; Εἰ μὲν γὰρ οὐδεὶς ἕτερος δεσμὸς παρὰ τὸν φυσικὸν βίον συνεζεύγνυεν αὐτοὺς εἰς ἓν σῶμα, οὐκ ἂν ὡς προσώποις ἀλλήλοις ἐχρῶντο, ἀλλ' ὡς πράγμασι καὶ ὀργάνοις· ἡ δὲ ὁρμὴ τοῦ συνάπτοντος πάθους ἦν ἂν μᾶλλον ὄρεξίς τις ἢ φιλία καὶ εὔνοια, ὡς περὶ μηδὲν ἠθικὸν στρεφομένη· καὶ ἡμεῖς δὲ λέγειν τι πλέον οὐκ ἂν εἴχομεν, ὡς περὶ τῶν φυσικῶν παθημάτων διειληφότες, εἰμή που ἐχρῆν εἰδοποιῆσαι αὐτό, δεικνύντας πρὸς τί κατεπείγει τέλος, ὥσπερ ἄν τις ποιήσειε καὶ περὶ τῆς πείνης καὶ δίψης. Νῦν δὲ τὸ μὲν γένος, εἰπεῖν τἀληθές, ὄργανόν τί ἐστιν ὑλικόν, ᾧ χρῆται ἡ φύσις πρὸς τὴν τῆς συγγενείας καθίδρυσιν· ἀλλ' ἡ ἐκ τούτου ἡδονὴ οὔτε τὸ μόνον οὔτε τὸ ἰσχυρότερόν ἐστι τῆς οἰκίας συστατικόν· πάρεστι γὰρ καὶ ἕτερον πολλῷ



ἰσχυρότερον ἅμα καὶ διαρκέστερον καὶ ἁγνότερον. Παρὰ γὰρ τὸ φυσικὸν γένος τοῦ ἄῤῥενος καὶ τοῦ θήλεός ἐστι καὶ τὸ ἠθικόν, οὐκέτι ἐν τοῖς σωματικοῖς ὀργάνοις αἰσθητοποιούμενον, ἀλλ' ἐν αὐτῇ τῇ ψυχῇ ἑδραζόμενον, ἀρετὰς καὶ ποιότητας ἔχον τὰς προσηκούσας ἑκατέρῳ, ἐφιεμένας μὲν ἀλλήλων, ὁρμαῖς δὲ νοεραῖς ἐκδηλούσας τὴν χρείαν τῆς συναφείας, ἔνθα διάνοια διανοίᾳ συζεύγνυται, καὶ βούλησις βουλήσει συνάπτεται. Οὐδὲν γὰρ μάτην ἡ φύσις ποιεῖ, καὶ οὐδεμία ἐστὶν ἀντίφασις τῷ διανοητικῷ πρὸς τὸ φυσικόν, ἀλλ' ἀμφότερα τοῦ αὐτοῦ καταστοχάζεται τέλους, καὶ ἕνα τὸν αὐτὸν ὁρισμὸν πληροῦν συμφώνως ἐπείγεται. Ὅ,τε γὰρ ἀνήρ, ἥτε γυνὴ οὐ μόνον κατὰ τὰ σώματά εἰσι τοιοῦτοι, ἀλλὰ μάλιστα κατὰ τὰς διανοίας. Διὰ τοῦτο καὶ ὅταν ἐξ ἔρωτος μακροῦ καὶ ὁλοψύχου καὶ διαρκοῦς φιλῇ τις, οὐ τοῦ σώματος ὀρέγεται, ἀλλ' αὐτοῦ τοῦ κυρίως ἀνθρώπου, αὐτοῦ τοῦ διανοητικοῦ, ὅ ἐστιν ἡμῶν ἕκαστος, καὶ δι' οὗ παθαίνεται καὶ νοεῖ καὶ προαιρεῖται καὶ δρᾷ. (α)

§. 264. Ὁ μὲν οὖν ἀνήρ, ᾗ πρόσωπον, ἀγαθός ἐστι τῇ γυναικὶ ἐκ τῶν ἀνδρικῶν ἀρετῶν, ἐνεργητικώτερος ὢν καὶ δυνατώτερος, καὶ ἐπὶ μείζω ἐπεκτεινόμενος, καὶ ἐγκρατέστερος ὢν ἑαυτοῦ καὶ τῶν ἔξω ὄντων, ἐξ οὗ καὶ τὴν πρώτην κατέχει τάξιν. (β) Ἡ δὲ γυνὴ

(α) Ἀριστ. Ἠθ. Νικομ. Βιβ. Η. κεφ. ιβ'. « Ἀνδρὶ δὲ καὶ γυναικὶ φιλία δοκεῖ κατὰ φύσιν ὑπάρχειν· ἄνθρωπος γὰρ τῇ φύσει σ υ ν δ υ α σ τ ι κ ὸ ν μᾶλλον ἢ πολιτικόν . . . τοῖς μὲν οὖν ἄλλοις (ζώοις) ἐπὶ τοσοῦτον (τὸ τεκνοποιῆσαι) ἡ κοινωνία ἐστίν· οἱ δ' ἄνθρωποι οὐ μόνον τῆς τεκνοποιίας χάριν συνοικοῦσιν, ἀλλὰ καὶ τῶν εἰς τὸν βίον· ε ὐ θ ὺ ς γὰρ διῄρηται τὰ ἔργα, καὶ ἔστιν ἕ τ ε ρ α ἀνδρὸς καὶ γυναικός. Ἐπαρκοῦσιν οὖν ἀλλήλοις, εἰς τὸ κοινὸν τιθέντες τὰ ἴ δ ι α· διὰ ταῦτα δὲ καὶ τὸ χρήσιμον εἶναι δοκεῖ καὶ τὸ ἡδὺ ἐν ταύτῃ τῇ φιλίᾳ· εἴη δ' ἂν καὶ δι' ἀρετήν, εἰ ἐπιεικεῖς εἶεν· ἔστι γὰρ ἑκατέρου ἀρετή, καὶ χαίροιεν ἂν τῷ τοιούτῳ· σύνδεσμος δὲ τὰ τέκνα δοκεῖ εἶναι· διὸ θᾶττον οἱ ἄτεκνοι διαλύονται· τὰ γὰρ τέκνα κοινὸν ἀγαθὸν ἀμφοῖν· συνέχει δὲ τὸ κοινόν. » Ὥσπερ οὖν ἐστι σῶμα ἀνδρικὸν καὶ θηλυτικόν, οὕτω πολλῷ πρότερόν ἐστι καὶ διάνοια ἀνδρική τε καὶ θηλυτική.

(β) Ἀριστ. Ἠθ. Νικομ. Βιβ. Η. κεφ. ιά. « Ἀνδρὸς δὲ καὶ γυναικὸς (ἡ κοινωνία δηλ.) ἀριστοκρατικὴ φαίνεται· κατ' ἀξίαν γὰρ ὁ ἀνὴρ ἄρχει, καὶ περὶ ταῦτα ἃ δ ε ῖ τ ὸ ν ἄ ν δ ρ α· ὅσα δὲ γυναικὶ ἁρμόζει, ἐκείνῃ ἀποδίδωσιν· ἁπάντων δὲ κυριεύων ὁ ἀνήρ, εἰς ὀλιγαρχίαν μεθίστησιν· παρὰ τὴν ἀξίαν γὰρ αὐτὸ ποιεῖ, καὶ οὐχ ᾗ ἀμείνων. Ἐνίοτε δ' ἄρχουσιν αἱ γυναῖκες (ἁπάντων δηλ. τῶν ἐν τῇ οἰκίᾳ) ἐ π ί κ λ η ρ ο ι οὖσαι· οὐ δὴ γίγνονται κατ' ἀρετὴν (δηλ. ἀξιότητα) αἱ ἀρχαί, ἀλλὰ διὰ πλοῦτον καὶ δύναμιν, καθάπερ ἐν ταῖς ὀλιγαρχίαις. »

πλεονεκτεῖ καὶ αὐτὴ τοῦ ἀνδρὸς κατά τι· ἔχει γάρ τι ἦθος ἐπαγωγότερον καὶ χαριέστερον, καὶ ἔργοις ἐγκύπτειν πέφυκε λεπτοτέροις καὶ κομψοτέροις, καὶ φροντίσιν ὁμιλεῖν ἐπιμονῆς μεγάλης χρηζούσαις δεξιωτέρα ἐστί· κράτος μὲν οὖν ἀσθενέστερον ἔχει, φίλτερον ὅμως καὶ τερπνότερον. Ὥστε ὁ ἀνὴρ καὶ ἡ γυνή εἰσι πρὸς ἀλλήλους, ὥσπερ δύο δυνάμεις σύμμαχοι, ὧν ἡ μὲν προΐσταται καὶ διεξάγει ἀῤῥενωπότερον, ἡ δὲ συναντιλαμβάνεται καὶ ὑπείκει μετὰ χάριτος· ἐν τούτῳ γὰρ μάλιστα ἐναπολανθάνει ἡ θελκτικὴ ἐκείνη δύναμις, ἡ πρὸς τὴν ἀλλήλων δίωξιν καὶ ἔφεσιν ἑκατέρους ἐπείγουσα, καὶ πρὸς ἠθικὸν ὅλως ἀφορῶσα τέλος, τὴν ἐξ ὑπεροχῆς προστασίαν καὶ βοήθειαν τῷ ἀσθενεστέρῳ, καὶ τὴν μετὰ ψυχαγωγίας συναντίληψιν καὶ ἐμψύχωσιν τῷ ἰσχυροτέρῳ.

§. 265. *Ἔρως γαμικός.*—Ὅταν δὲ ψυχαὶ δύο ἡνωμέναι διὰ τοιούτου δεσμοῦ ἠθικοῦ καὶ ἀδιασπάστου, οὐ μόνον ἀγαθαὶ ὦσιν ἀλλήλαις, ἀλλὰ καὶ καλαὶ καὶ ἐπιεικεῖς· ὅ ἐστιν, ὅταν ὁ μὲν διαπρέπῃ ἐν τῷ μεγέθει καὶ τῷ ὕψει τῶν οἰκείων ἀρετῶν, ἡ δὲ διαφέρῃ ἐν τῇ χάριτι καὶ τῇ εὐτραπελίᾳ τῶν οἰκείων δεξιοτήτων, (α) τότε ἑκάτερος ἐπιτέρπεται τῷ ἑτέρῳ, ἡδονῆς ἐμφορούμενοι ἀμυθήτου, καταθέλγοντές τε καὶ ἐκγοητεύοντες ἀλλήλους εἰς διάθερμον καὶ ἐνθουσιώδη ἔρωτα. Τὸ γὰρ κάλλος, ὥσπερ δὴ καὶ τὸ ἀγαθὸν, αὐτὸ μὲν οὐδαμῶς ὂν ληπτὸν ταῖς αἰσθήσεσιν, ὑποπίπτον δὲ ταύταις ἐμμέσως διὰ τῆς ἀντανακλάσεως καὶ τῆς ἔξω ἐκφράσεως, (β) τελειοῖ δήπου τὴν διάλληλον ταύτην ἀνταγάπησιν, οἷον πλή-

(α) Ὁ λόγος ἐνταῦθα μᾶλλον περὶ τοῦ διανοητικοῦ κάλλους ἐστίν· ἀλλ' ὅταν καὶ τὸ σωματικὸν προσῇ, οἷον ἀπαύγασμα τῆς ἔνδοθεν καλλονῆς, πάντως γε τὸ θέλγητρόν ἐστιν ἰσχυρότερον. Ὅρ. καὶ Λουκ. Εἰκ. (Λυκ. καὶ Πολυσρ.) 11. «Τὸ δ' ἐντελὲς, οἶμαι, κάλλος τοῦτό ἐστιν, ὁπόταν ἐς τὸ αὐτὸ συνδράμῃ ψυχῆς ἀρετὴ καὶ εὐμορφία σώματος.»

(β) Ὅρ. Μαξ. Τύρ. Λόγ. ΚΖ΄. ζ΄· «Ὡς τὸ καλὸν αὐτὸ ἄῤῥητον ὂν καὶ ὀφθαλμῶν κρεῖττον . . .» καὶ η΄. «Οὕτω καὶ τὸ κάλλος τὸ ἄῤῥητον καὶ ἀθάνατον ἔρχεται μὲν πρῶτον δι' οὐρανοῦ καὶ τῶν ἐν αὐτῷ σωμάτων, καὶ εἰσπεσὸν ἐκεῖ, ἀκραιφνὲς μένει καὶ ἀμιγὲς καὶ ὁλόκληρον· ἐπειδὰν δὲ ὑπερκύψῃ τοῦ οὐρανοῦ εἰς τὸν δεῦρο τόπον, ἀμβλύνεται καὶ ἀμαυροῦται.» Ὅρ. καὶ Λόγ. ΚΕ. δ΄. «Οἷον εἰ ξυνείης ποταμοῦ κάλλος λειμῶνι ἐπιῤῥέον, καλὰ μὲν τὰ ὑπ' αὐτῷ ἄνθη, λαμπρυνόμενα δὲ ὑπὸ τοῦ ὕδατος πρὸς τὴν ὄψιν· τοῦτο δύναται καὶ ψυχῆς ἄνθος ἐμπεφυτευμένον σώματι

SISMANOGLIO



ρωμα καὶ κορωνὶς προστιθέμενον τῇ τῶν συζύγων φιλήσει. Ἐπιχέει γάρ τι κατακηλοῦν καὶ ἀναρπάζον τὰς διανοίας, καὶ τὸν καθ' αὑτὸ λεγόμενον ἔρωτα γεννᾷ, ὃς τῇ ἀμοιβαίᾳ ἀγαπήσει τῶν συζύγων, ἀλλήλων ἕνεκα δεδημιουργῆσθαι δοκούντων, ἐπάγει καὶ τὴν ποιητικωτέραν ταύτην διάθεσιν, ἣν μόνη πέφυκεν ἡ καλλονὴ διεγείρειν. Τοιοῦτον οὖν, καθόλου εἰπεῖν, ἐστὶ τὸ πάθημα τὸ συνάπτον τοὺς ἐραστὰς καὶ τοὺς συζύγους· ἐπαλλάσσει δὲ πάντως παρά τε τῷ ἀνδρὶ καὶ τῇ γυναικὶ, παρά τε τοῖς νεάζουσι καὶ τοῖς καθεστηκόσιν. Ἀλλὰ τὰς παραλλαγὰς ταύτας ὁ μὲν φιλόσοφος ὀφείλει παραλιπεῖν, ὁ δ' ἐρωτογράφος ἢ ἐρωτοπλάστης ἀσμένως ἂν ἐκφράσειε ποιητικώτερον· ἱκανὸν γὰρ ἡμῖν ὡς ἐν τύπῳ καὶ τοῦτον ὑποδεῖξαι τὸν τῆς παθήσεως τρόπον.

§. 266. *Ἡ παρὰ τῶν γονέων πρὸς τοὺς παῖδας στοργή.*— Ἀλλ' εἰσελθόντες εἰς τὴν ἔρευναν τῶν ἐν τῇ οἰκίᾳ παθημάτων, πρῶτον μὲν ἐλάβομεν τὸ τῇ γενέσει πρότερον ἐνδεικνύμενον· ἕπεται δὲ νῦν διελθεῖν καὶ περὶ τῶν μετὰ τοῦτο γινομένων. Οἱ γὰρ σύζυγοι γεννῶσι τέκνα, ἃ καὶ προσδοκῶντες ἔχαιρον, καὶ κτησάμενοι στέργουσιν, εὐδαιμονιζόμενοι ἐπὶ τῇ εὐκληρίᾳ ταύτῃ ὡς τὴν εὐχὴν τοῦ κατ' αὐτοὺς ἔρωτος ὑπερπληρούσῃ. Ἃ μὲν οὖν πρὸ τῆς τεκνοποιΐας ἀντεδωρήσαντο, δείγματα καὶ ἐχέγγυα ἀγάπης ἀδόλου, καὶ ὑπόμνηστρα ἀσπαστὰ καὶ ἐρατεινὰ, οἷον δακτύλιον, εἰκόνιον, ἢ ἕτερόν τι δώρημα τῶν ἐπινενοημένων ὑπὸ τῆς φιλοκαλίας ἢ τοῦ ἔθους, ταῦτ' ἄφωνα ὅλως ἐστὶ καὶ ἄψυχα. Ἀλλὰ τὸ τέκνον τὸ αἷμα αὐτῶν ἐστιν, ὁ ἔμπνους αὐτῶν καρπὸς, αὐτὴ αὐτῶν ἡ ζωὴ προαχθεῖσα ὑπὸ μορφὴν τὴν χαριεστάτην καὶ θελκτικωτάτην, καὶ οἷον ἔκφρασις καὶ εἰκὼν τῆς αὐτῶν συζεύξεως πρόκειται· τοσούτῳ δὲ πιστότερον ἡ ἔκφρασις ἀποδίδοται αὕτη, ὅσῳ μᾶλλον πρόεισιν ἐξ ἔργου, ἔνθα ἡ τελειοτάτη ἕνωσις γίνεται. Ἐκ δὲ τοῦ μυστηρίου τούτου τῆς φύσεως, δῶρόν τι ἀλλήλοις δωροῦνται, κρεῖττον ὂν

καλῷ· ἐκλαμπρύνεται ὑπ' αὐτοῦ, καὶ ἐκλάμπει καὶ διαφαίνεται. Καὶ ἔστι σωμάτων ὥρα οὐδὲν ἄλλο, ἢ μελλούσης ἀρετῆς ἄνθος, καὶ οἱονεὶ προοίμιον κάλλους ὡραιοτέρου· ὥσπερ γάρ . . . .» (παραλέλειπται τὰ μᾶλλον ἐπιτετηδευμένα εἰς τὸ σοφιστικώτερον.) Ὅρ. καὶ Ξενοφ. Ἀπομ. καὶ Πλάτ. Συμπ.

παρ' αὐτοῖς παντὸς ἑτέρου οἱουδήποτε δώρου. Πῶς οὖν οὐ στέρξουσι τὰ ἴδια αὐτῶν τέκνα, φίλτατα καὶ τιμιώτατα δωρήματα ἀλλήλοις ἀντιδιδόμενα; Οὐμὴν ἀλλὰ καὶ καθ' ἑαυτὰ τὰ πλάσματα ταῦτα, ἃ ἡ θεία Πρόνοια ἐπέτρεψεν αὐτοῖς, δεσμοῖς ἰσχυροῖς καὶ ἡδίςοις οἰκειώσασα, ἐρασμιώτατόν τι χρῆμά ἐςι. Τὴν μὲν γὰρ νηπιώδη ἄγουσιν ἡλικίαν καὶ *ἀταλὰ βάζουσιν*, οἷα ἀθωότης ἐπιλάμπει, οἷα ἐπαγωγὸς ἀσθένεια ἐπικρατεῖ, οἷα θέλγητρα ἁπλοϊκότητος ἐπικέχυται. Μετὰ δὲ ταῦτα, ὅσων ἐλπίδων μεςὸν διορᾶται τὸ μέλλον, ὅσας προόδους καὶ ἀναπτύξεις προφαίνονται, καὶ ὅσα διὰ τέλους πλεονεκτήματα ἐπιψήχει καὶ κατακηλεῖ τὰς τῶν τεκόντων ψυχάς.

§. 267. Ἀγαθὰ δὲ καὶ ἀγαπητὰ τὰ τέκνα ἐςὶ τοῖς γονεῦσιν, οὐ μόνον εὐεργετούμενα ἐν τῇ νεαρᾷ αὐτῶν ἡλικίᾳ, ἀλλὰ καὶ ἀντιπελαργοῦντά ποτε καὶ τὰ τροφεῖα ἀπονέμοντα τούτοις. Πρῶτον μὲν γὰρ ἀνταμείβει τοὺς γονεῖς ἀντὶ τῶν πολλῶν καθ' ἡμέραν φροντίδων καὶ μεριμνῶν, ἡδύ τι ψελλίζοντα, παίζοντα παιδιὰς μετὰ χάριτος, καταῤῥέζοντα ἐν χερσὶν ἁπαλοχρόοις, καὶ ᾀσμάτιά ὑπότραυλά τινα ὑποκρέκοντα, καὶ δὴ καὶ πειθαρχοῦντα ὑποκλινῶς καὶ ἐρυθριῶντα πρὸς τὰς ἐπιπλήξεις· ἔπειτα δὲ καὶ εὐσεβεῖ τὰ πρὸς τοὺς τεκόντας καὶ γηροκομεῖ αὐτούς, καὶ ὑποστηρίζει προθύμως ἐν τοῖς δεινοῖς. Χαίρουσιν οὖν οἱ γονεῖς καὶ ἐπιτέρπονται ἐπὶ τοῖς τέκνοις, ὡς ἐν αὐτοῖς παραμυθούμενοί τε καὶ ἐπιζῶντες· τοῦτο δὲ μάλιστα ἐννοοῦντες, μακαρίζουσιν ἑαυτοὺς τῆς εὐδαιμονίας. Οὕτω δὲ σφόδρα φιλοῦσι τὰ ἴδια τέκνα, ὥστε καὶ τυφλοῦσθαι πολλάκις περὶ τὰς ἐλλείψεις αὐτῶν· πάντα γὰρ εὑρίσκουσιν ἐν αὐτοῖς ἀρεςὰ καὶ χαρίεντα· διὰ τοῦτο καὶ ἀκαταπαύςως περιπτύσσονται ταῦτα, καὶ κατασπάζονται μετὰ ςοργῆς ἀμυθήτου. Καὶ ὁ μὲν πατὴρ κήδεται περὶ τοῦ μέλλοντος αὐτοῖς ἔσεσθαι, καὶ νουθεσίαις χρῆται, καὶ μόχθους ἀτρύτους ὑφίςαται· ἡ δὲ μήτηρ φιλοςοργεῖ περιπαθῶς καὶ εὔχεται καὶ ἐγρήγορε, καὶ δὴ καὶ δακρύει δάκρυα θαλερά, καὶ τί οὐ ποιεῖ ὑπὲρ τῶν τέκνων αὐτῆς;

§. 268. *Ὁ παρὰ τῶν παίδων πρὸς τοὺς γονεῖς ἔρως.*—Ἀλλὰ καὶ οἱ παῖδες αὖ οὐκ ἀδιαφοροῦσιν ὁρῶντες οἵων ἀγαθῶν ἀπολαύου-



σι παρὰ τῶν γονέων, οἷς ὀφειλέται μετὰ Θεὸν εἰσι τῆς ἰδίας ζωῆς, πάσης ἐπιμελείας τυγχάνοντες καὶ ὡς πρὸς τὸ σωματικὸν καὶ ὡς πρὸς τὸ διανοητικόν, δι' οὓς τῶν μὲν καλῶν τῆς τέχνης καὶ τῆς πολιτείας μεταλαγχάνουσι, τῆς δὲ θρησκείας τὰ σωτήρια ποτίζονται νάματα, νουθετούμενοι καὶ χειραγωγούμενοι παντοιοτρόπως ἐπὶ τὸ κρεῖττον, καὶ τῇ ἀγρύπνῳ αὐτῶν φρουρᾷ διὰ παντὸς ἐξησφαλισμένοι. Τίς οὖν πρὸς τοσαύτας καὶ τηλικαύτας εὐεργεσίας ἀγνωμονήσει ποτέ; οὐ γὰρ ὁ ἄνθρωπος οὕτω διέςραπται τὴν ψυχήν, οὐδὲ πέφυκε μισεῖν τὸν τοσούτων ἀγαθῶν γινόμενον αἴτιον· τοὐναντίον δὲ καταλαμβανόμενος ὑπὸ βαθυτάτου σεβάσματος, καὶ ἀσπάζεται τὴν δεξιὰν τὴν οὕτω καταντλοῦσαν αὐτοῦ τὰς χάριτας, καὶ τὴν οὕτως ἀκαμάτως καὶ σοφῶς προϊςαμένην αὐτοῦ. Ὁ γὰρ γονεὺς ἐν τῇ κατ' οἶκον τάξει πρόνοιά τίς ἐςι, κηδομένη τῶν ἀσθενῶν τέκνων μάλιστα, ὥσπερ ὁ Θεός ἐςιν ἡ πρόνοια τῆς τοῦ σύμπαντος τάξεως. Διὸ καί τι θρησκευτικώτερον ἔχει ἡ πρὸς τοὺς τεκόντας θεραπεία τῶν παίδων, εὐσεβούντων ἀληθῶς τὰ περὶ αὐτούς, καὶ ἔρωτι αἰδήμονι πληρούντων τὰ αὐτοῖς ὀφειλόμενα.

§. 269. *Ὁ ἀδελφικὸς καὶ συγγενικὸς ἔρως.*—Ἀλλὰ καὶ πρὸς ἀλλήλους καὶ τοὺς λοιποὺς συγγενεῖς οἱ παῖδες ἀναφοράς τινας ἔχουσι, παθήματα γεννώσας ἰδιαίτερα· ἐκ τοῦ αὐτοῦ γὰρ αἵματος καὶ ἐν ταῖς αὐταῖς περιστάσεσι γενόμενοι καὶ τραφέντες, εἰς ἀμοιβαίαν βοήθειαν θαμὰ ἀλλήλους ἐπικαλούμενοι, οὐ δύνανται μὴ εὐνοεῖν ἑαυτοῖς εὐγνωμόνως, καὶ δείγματα εὐμενείας παρέχειν, ἐξ ὧν ἡ φιλία ἀκμάζειν ἀεὶ καὶ θάλλειν πέφυκε (α). Ὁμαίμονας οὖν καὶ ἑταίρους ὄντας, φύσις καὶ λόγος αὐτοὺς συνέζευξεν· ὥστε ἐάν μοι τοὺς γονέας ἐξέλῃς τοὺς παρασχόντας αὐτοῖς τὴν ζωήν, πρὸς οὐδὲν ἕτερον δημιούργημα συνδέδενται οἰκειότερον. Εἰ δὲ καὶ ἡλικίαν

(α) Ἀριςτ. Ἠθ. Νικομ. Βιβ. Η. κεφ. ιβ. « Γονεῖς μὲν οὖν τέκνα φιλοῦσιν ὡς ἑαυτούς· τὰ γὰρ ἐξ αὐτῶν, οἷον ἕτεροι αὐτοὶ τῷ κεχωρίσθαι· τέκνα δὲ γονεῖς, ὡς ἀπ' ἐκείνων πεφυκότα· ἡ γὰρ πρὸς ἐκείνους ταυτότης ἀλλήλους ταυτοποιεῖ· διό φασι ταὐτὸν αἷμα καὶ ῥίζαν καὶ τὰ τοιαῦτα· εἰσὶ δὴ ταὐτό πως καὶ ἐν διῃρημένοις. Μέγα δὲ πρὸς φιλίαν καὶ τὸ σύντροφον καὶ τὸ καθ' ἡλικίαν. Ἧλιξ γὰρ ἥλικα . . » (τέρπει δηλ. ἢ διώκει. Ὅρ. καὶ Ἠθ. Εὐδημ. Ζ. ζ. τὸ παρ' ἡμῖν, ὅμοιος τὸν ὅμοιον.)

διάφορον ἄγουσιν, ὥστε τοὺς μὲν τάξιν κηδεμόνων καὶ ἐπιτρόπων κατέχειν, τοὺς δ' ἀνήβων καὶ ἀνηλίκων, ἁρμοζόντως τῇ ἡλικίᾳ καὶ ἡ ἀνταγάπησις παραλλάσσει, τοῖς μὲν πατρικώτερον, τοῖς δ' υἱϊκώτερον ἔχουσα. Ὅταν δ' αἱ κατ' αὐτοὺς ἡλικίαι σχεδὸν ἀλλήλων ἐφάπτωνται, τότε ἡ συνδέουσα εὔνοια ἐμφαίνει τὴν πρὸς τοὺς ἴσους οἰκειότητα, καὶ αὐτὸ τοῦτό ἐςιν *ἀδελφική*. (α)

Τοιαύτη οὖν καθόλου εἰπεῖν καὶ ἡ φύσις τῶν παθημάτων, τῶν ἐν τῇ οἰκίᾳ ἀναφυομένων.

§. 270. Δον. *Παθήματα ἔτι εἰδικώτερα· φιλία.*—Λείπεται νῦν βραχέ' ἄττα εἰπεῖν καὶ περὶ τῆς *φιλίας*, ἵνα διεξέλθωμεν τὴν ἐπίτομον ταύτην ἐπίσκεψιν τὴν περὶ τῶν διαφόρων εἰδῶν τῆς οἰκειότητος. Πρῶτον μὲν οὖν ἐκεῖνο καλῶς ἐννοητέον, ὅτι φιλία ἔνεςι καὶ πᾶσι τοῖς προεξητασμένοις παθήμασιν, οἷον τοῖς τοὺς συζύγους συνδέουσι πρὸς ἀλλήλους, τοῖς τοὺς γονέας πρὸς τοὺς παῖδας καὶ τούτους αὖ πρὸς ἐκείνους· ἀλλ' οὐκ ἔςιν ἐνταῦθα ἀκραιφνὴς καὶ καθαρά, ὡς ἀναμιγνυμένη ἑτέραις τισὶ περιςάσεσιν ἀχωρίςοις τῆς συγγενείας· ζητητέον ἄρα αὐτὴν καθ' ἑαυτὴν καὶ ἀπηλλαγμένην τῶν ἀλλοτρίων αὐτῆς αἰτίων. Τί οὖν ἡ φιλία ἀκριβῶς καὶ καθ' ἑαυτὴν θεωρουμένη; Ἐφάπαξ μὲν οὖν καὶ ἐκ προσπαίου, ὥσπερ ἄλλα τινὰ πάθη, οὐκ ἐγγίνεται αὕτη· (β) προδιάθεσιν δέ τινα καὶ οἰκονομίαν

(α) Ἀριςτ. Ἠθ. Νικομ. Βιβ. Η. κεφ. ι. « Τιμοκρατικῇ δ' ἔοικεν ἡ τῶν ἀδελφῶν· ἴσοι γάρ, πλὴν ἐφ' ὅσον ταῖς ἡλικίαις διαλλάττουσι· διόπερ ἂν πολὺ ταῖς ἡλικίαις διαφέρωσιν, οὐκέτι ἀδελφικὴ γίγνεται ἡ φιλία. » Καὶ μικρὸν κατωτ. « Ἡ δὲ τῶν ἀδελφῶν τῇ ἑταιρικῇ ἔοικεν· ἴσοι γὰρ καὶ ἡλικιῶται· οἱ τοιοῦτοι δ' ὁμοπαθεῖς καὶ ὁμοήθεις ὡς ἐπὶ τὸ πολύ . . . » Εἴληπται δ' ἡ λέξις Τιμοκρατία ἐκ Πλάτ. Πολ. Η.

(β) Πολλὰ περὶ φιλίας λέγει καὶ Ἀριςτ. ἐν τοῖς Ἠθικ. Νικομ. Βιβ. Η. καὶ Θ. Ἕν 'α μάλιςα σημειωτέον· (Η. β) « Εὔνοιαν γὰρ ἐν ἀντιπεπονθόσι φιλίαν εἶναι. Ἢ προσθετέον τὸ μὴ λανθάνουσαν; φίλους δὲ πῶς ἄν τις εἴποι, λανθάνοντας ὡς ἔχουσιν ἑαυτοῖς; δεῖ ἄρα εὐνοεῖν ἀλλήλοις, καὶ βούλεσθαι τἀγαθὰ μὴ λανθάνοντας· » καὶ (Θ. ε) « Ἡ δὲ εὔνοια φιλίᾳ μὲν ἔοικεν, οὐμὴν ἐςί γε φιλία· γίγνεται γὰρ εὔνοια καὶ πρὸς ἀγνῶτας καὶ λανθάνουσα· φιλία δὲ οὔ· καὶ πρότερον δὴ ταῦτ' εἴρηται· ἀλλ' οὐδὲ φίλησίς ἐςιν· οὐ γὰρ ἔχει διάτασιν οὐδ' ὄρεξιν· τῇ φιλήσει δὲ ταῦτ' ἀκολουθεῖ. Καὶ ἡ μὲν φίλησις μετὰ συνηθείας· ἡ δ' εὔνοια καὶ ἐκ προσπαίου . . . προσπαίως εὖνοι γίνονται καὶ ἐπιπολαίως ςέργουσι. » τουτ. ἐκ τοῦ παραχρῆμα (tout-à-coup ἢ tout d'un coup.). Σημ. δὲ ὅτι κάλλιστα καὶ

SISMANOGLIO MEGARO



προαπαιτεῖ, ὡς ἐκ χρονίου συνηθείας καὶ ἀμοιβαίας ἀντιδόσεως συνισταμένη· προϋποτίθησι δὲ ἦθος εὐπροσήγορον καὶ ὁμιλητικόν, καί τινα ἐμπειρίαν καὶ διάγνωσιν τῶν ψυχῶν, ὃ χρόνου πολλοῦ ἐςὶ προϊόν. Χωρεῖ δὲ βραδέως καὶ μετ' εὐλαβείας, καὶ τότε μόνον ἀκμάζει καὶ τελεσφορεῖ, ὅταν μακρὰ πεῖρα προηγουμένη τὴν ἐξ ἀρχῆς εὐνοϊκὴν ῥοπὴν τῆς ψυχῆς δικαιοῖ. Πολλάκις μὲν οὖν δύο τινὲς ἐντυχόντες καὶ ἡσθέντες ἀλλήλοις, γνώριμοι ἁπλῶς καὶ ἑταῖροι πολιτικώτερον καὶ ἀςικώτερον γίνονται· οὗτος μὲν δὴ δεσμὸς πρῶτος καὶ οὐχ ἱκανός· ὅταν δέ ποτε περί τινος μεγάλης καὶ ἀξιολόγου ὑποθέσεως τύχωσιν ἀλλήλοις συναρμοζόμενοι καὶ ὁμονοοῦντες, καὶ ταῦτα οὐχ ἁπλῶς οὕτω κατὰ χάριν καὶ ὑποκούφως, ἀλλὰ μετὰ σπουδῆς καὶ πεποιθήσεως ἐνδομύχου· τὸ δ' ὁμόδοξον καὶ ὁμοιοπαθὲς τοῦτο λόγος τις δηλώσῃ ἢ βλέμμα ἢ σχῆμα, ἤ τι ἕτερον σημεῖον τῶν ἀφώνων μέν, πολλὰ δ' ἐκφραζόντων, τότε δὴ εὐθὺς ἡ ὄντως φιλία ἀναφύεται. Ἐκεῖνο δὲ μόνον ἴσως ἔτι λείπεται πρὸς τελεσιούργησιν, τὸ ἀκριβῶς καὶ φρονίμως προεξετάσαι, εἰ ἀληθὴς εἴη καὶ ἀγαθὴ ἡ αἴφνης εἰς μέσον προκύψασα συμφωνία καὶ ταυτότης τῶν φρονημάτων.

§. 271. Ἐπὰν δ' ὁ νοῦς ἅπαξ πληροφορηθῇ, ὅτι ἀληθῶς καὶ δικαίως ὁμοφρονοῦσιν ἑαυτοῖς, τότε ἡ καρδία φορᾷ τινι ἀναποδράςῳ παραδίδοται τῷ τῆς φιλήσεως παθήματι, καὶ ἡδονή τις σώφρων καὶ δικαία συνωθεῖ τὰς ὁμοιοπαθεῖς ψυχὰς ἀμφοτέρων εἰς σύνδεσμον. (α) Ἀντιδωρησάμενοι δ' ἀλλήλοις τὴν ἑαυτῶν πίστιν καὶ ὑπόσχεσιν, δῶρον τιμαλφέςατον οὖσαν, καὶ συνδεθέντες ὡς ἐκ

σαφηνέστατα τοῖς νεωτέροις πραγματεύεται ὁ Φιλόσοφος τὸ τῆς φιλίας πάθος καὶ πάσας τὰς φιλικὰς καὶ εὐνοϊκὰς διαθέσεις, ἀνάγων αὐτὰς ὡς εἰς πηγὴν πρωτίςην τὴν περὶ ἡμᾶς αὐτοὺς φιλικὴν διάθεσιν, ἢ φιλαυτίαν. Ὅρ. Σχ. §. 298.

(α) Ἐνταῦθα λόγος οὐδεὶς περὶ τῶν φιλικῶν καθηκόντων· αὕτη μὲν γὰρ ὑπόθεσίς ἐςι τῆς Ἠθικῆς, ὑπαγορευούσης τοὺς κανόνας, καθ' οὓς ὀφείλομεν διεξάγειν πάντα καθόλου πάθη, καὶ τὸ εἶδος τουτὶ τῆς παθήσεως, τὴν φιλίαν. Ἡ δὲ Ψυχολογία αὐτὴν ἁπλῶς τὴν ἐν ἡμῖν φύσιν ἐξακριβοῦται, ὅθεν καὶ ἡ Ἠθικὴ χειραγωγουμένη ὁμολογουμένως τῇ φύσει ἡμῶν τὰ παραγγέλματα τίθησι. Ταῦτα δ' ἡμῖν σεσημείωται καὶ περὶ τῆς λογικῆς δυνάμεως. Ὅρ. §. 165. Καθόλου γὰρ ἡ Ἠθικὴ ἐπαγγέλλεται τὴν διὰ τῆς Ἐλευθερίας διευθέτησιν τῶν δύο κυρίως ἐν ἡμῖν δυνάμεων, τῆς νοήσεως, καὶ τῆς παθήσεως.

συνθήκης καὶ ὁμολογίας ἐνυπογράφου, καὶ οὐχὶ ἐξ ἐπιπολαίου τινὸς γνώμης καὶ κλίσεως, οὐχ ἁπλῆν τοῦ λοιποῦ οἰκειότητα ἐπιδείκνυνται, ἀλλὰ χρέος ἱερώτερον ἀναγκάζει αὐτοὺς πρὸς τὴν ἀλλήλων λόγῳ τε καὶ ἔργῳ βοήθειαν. Οὐ γὰρ ὁ φίλος χρῆται τῷ φίλῳ ὡς ἤδει ἁπλῶς συντρόφῳ, μηδὲν ὀφείλειν αὐτῷ οἰόμενος· ἀλλ' ἅμα μὲν ἥδεται τούτῳ, ἅμα δὲ καὶ τῇ τῆς πίστεως ἐπαγγελίᾳ καθυποβέβληται, ὡς πανταχοῦ βοηθήσων προθύμως, ἐξυπηρετῶν μὲν αὐτῷ τὰ ἀγαθὰ, περιθάλπων δ' ἐν χρείᾳ, συμβουλεύων δὲ καὶ τηρῶν τὰ ἀπόῤῥητα καὶ πάντα πράττων, ὅσα ἔρως ἀληθὴς καὶ γενναῖος ὑπαγορεύει, πλὴν εἴπου πρᾶξις ἀθέμιτος καὶ φαύλη περαίνοιτο. Τοιούτῳ δὴ ὄντι τῷ φίλῳ, πρὸς πᾶν ἔργον δίκαιον προθυμίαν καὶ πίστιν ὑπεσχημένῳ, θαῤῥεῖν δεῖ καὶ πεποιθέναι μέχρι καὶ αὐτοῦ τοῦ θανάτου. Ὁ γὰρ φίλος ἐστὶν ὁ κυρίως καὶ κατ' ἐξοχὴν ἄνθρωπος, ἀεὶ μὲν εἰλικρίνειαν καὶ εὔνοιαν πολυτίμητον ἐνδεικνύμενος, ἐν δὲ ταῖς ἀνάγκαις τοῦ βίου μάλιστα πάντων συνοικειούμενος· οὔτε γὰρ ὠφέλειαν βεβαιοτέραν, οὔτε ἡδονὴν μονιμωτέραν, οὔτε τέρψιν γλυκυτέραν ἅμα καὶ ἁγνοτέραν εὕραιτ' ἄν τις ἀλλαχόθεν, ἢ ἐκ τῆς μετ' αὐτοῦ οἰκειότητος καὶ κοινωνίας· οἷον γὰρ τοῦ βίου φύλαξ τίς ἐστιν ἄγγελος, ὃν αὐτὸς ἑαυτῷ ἐξελέξατο.

§. 272. Πάθος οὖν ἡ φιλία ἐντίκτει γενναῖον καὶ ὑψηλὸν καὶ ὁρμὴν ἐντίθησιν ἀγαθήν. Τὰς μὲν γὰρ παραφόρους ὁρμὰς, καὶ τὰ διάθερμα πάθη ὅσα πάσχουσιν οἱ ἀλλήλων σφόδρα ἐρῶντες ἐν νεότητι, οὐδαμῶς ἐνδιεγείρει· οὔτε μὴν ἐξάπτει εἰς προθυμίαν τοιαύτην, οἵαν οἱ γονεῖς φιλοστοργοῦντες παθαίνονται περὶ τοὺς παῖδας αὐτῶν· οὔτε δὴ τὴν εὐσεβῆ θεραπείαν καὶ ἀγάπην ὑποκινήσει, τὴν ἀπονεμομένην τοῖς γονεῦσιν ὑπὸ τῶν παίδων· ἐν τούτοις γὰρ ἔνεστί τι πλέον παρὰ τὴν φιλίαν, ἡ σὰρξ καὶ τὸ αἷμα καί τινες ἕτεραι συνάφειαι οἰκειώσεως ἰσχυροτέρας. Εἰς τοιαῦτα μὲν οὖν ὁρμήματα ἡ φιλία οὐ φέρει· ἀλλ' ὅμως οἰκειοῦταί τις καὶ τῷ φίλῳ μετ' εὐσταθείας, καὶ ἀπολαύει αὐτοῦ μεθ' ἡδονῆς ἀταράχου καὶ ἀκυμάντου· διώκει μὲν γὰρ αὐτὸν, ἀλλ' οὐ μετὰ μέθης καὶ παραφορᾶς, μετ' ἐπιμονῆς δ' ἀνενδότου καὶ ἀδιαλείπτου· ὅτι διψᾷ λίαν τῆς μετ' αὐτοῦ ὁμιλίας. Ἔχει τοίνυν ἡ φιλία ἐξ ἐναλλαγῆς ἀντὶ τοῦ

SISMANOGLIO



παραθέρμου τὸ ἔμπεδον καὶ διαρκὲς καὶ σῶφρον, ἃ κατατάσσει αὐτὴν ἐν τοῖς κρατίστοις τῶν παθημάτων.

§. 273. *Εὐγνωμοσύνη.*—Ἡ δ' εὐγνωμοσύνη ὡς ἔγγιστα τῆς φιλίας ἔχεται· ἐστι γάρ τις τρόπος αὐτῆς, καὶ διὰ τοῦτο οὐδὲ μακρᾶς ἐξηγήσεως ἰδίας χρῄζει. Τί γάρ πού ἐστιν ἡ εὐγνωμοσύνη; φιλία τοῦ εὖ παθόντος πρὸς τὸν εὖ ποιήσαντα· τὴν μὲν οὖν ὁμοιότητα καὶ τὴν ἐξ ἴσου ἀνταπόδοσιν καὶ ἀντευεργέτησιν οὐχ ὑποτίθησιν ἐξ ἀνάγκης, ὃ μάλιστα ἐνορᾶται τῇ τῶν ἀδελφῶν καὶ τῶν φίλων κοινωνίᾳ· τοῦτο γεμὴν οὐδαμῶς κωλύει τὸν εὐεργετηθέντα μὴ πάσχειν πρὸς τὸν εὐεργέτην γλυκύ τι πάθημα παρεμφερὲς τῇ φιλίᾳ. Οὐχ αἰτήσει μὲν γὰρ οὔτε θαῤῥήσει οὕτως, ὥσπερ εἰ φιλία ἀμφοτέρους συνέδεεν· ἐννοῶν γὰρ ὅτι προστασίας καὶ ἐπισκέψεως ἀπολαύει, ἀτολμότερος καὶ εὐλαβέστερος καθίσταται· ἀλλ' οὐχ ἧττον, εἰ χρηστῆς καὶ ἐπιεικοῦς εἴληχε φύσεως, φιλικώτερον διακείσεται περὶ τὸν αὐτοῦ εὐεργέτην καὶ κηδεμόνα.

§. 274. Ε'. *Παντοῖα παθήματα δυσμενῆ.*—Ταῦτα μὲν οὖν περὶ τῶν εὐμενῶν παθημάτων τῶν συμβαινόντων τῇ συγγενείᾳ· καὶ γὰρ τοῦτο μάλιστα ἡ τῶν πραγμάτων τάξις ἐθέλει· τὸ δὲ μισεῖσθαι μὲν τοὺς συζύγους ὑπ' ἀλλήλων, ἀπεχθάνεσθαι δὲ τοὺς γονεῖς τοῖς τέκνοις, καὶ τἀνάπαλιν, διαμάχεσθαι δὲ τοὺς ἀδελφοὺς ἀλλήλοις, οὐκ ἔστιν οὗτος θεσμὸς παρὰ τῆς ἱερᾶς φύσεως· πάντας γὰρ ἡ θεία Πρόνοια συγκαλεῖται ἐπὶ τὴν μετ' ἀλλήλων ἕνωσιν καὶ φιλίαν. Ἀλλ' ὅμως ἐπισυμβαίνουσι καὶ ἀνωμαλίαι καὶ ἀθετήσεις τῆς τάξεως· μᾶλλον δ' εἰπεῖν, νόμοι τινὲς ἕτεροι κατισχύοντες τῶν νόμων τῶν διεξαγόντων ὀρθῶς τὰς συγγενικὰς ἀναφορὰς, τὸ πᾶν συνταράσσουσι. Τότε δὴ οἱ σύζυγοι συζῶσι μὲν, ἀλλ' οὐ πρὸς τὸ ἀλλήλοις συμφέρον καὶ ἀγαθὸν ἀποβλέποντες· εἰσὶ δὲ μᾶλλον δύο ἐχθροὶ μιᾷ ἁλύσει συνδεδεμένοι, ἀλλήλων οὐκ ἀνεχόμενοι· τοσούτῳ δὲ μᾶλλον νεῖκος ἄσπονδον καὶ ἀδιάλλακτον ἔχουσιν, ὅσῳ ἔγγιον κατανοοῦσιν ἀλλήλους ὄντας· ὥστε τὰ πάντα, καὶ αὐτὴ ἡ τῶν αἰσθήσεων ἡδονὴ, εἰς ἀποστροφὴν μετατρέπεται καὶ βδελυγμίαν· ὃ τοὺς γαμοῦντας εἰς διχονοίας καὶ στάσεις διηνεκεῖς ἄγει, καὶ ἐφοπλίζει εἰς τὴν κατ' ἀλλήλων καταφορὰν καὶ δυσμένειαν. Συμ-

βαίνει δέποτε, εἰ καὶ σπανιώτερον, ὁρᾷν καὶ γονεῖς καὶ παῖδας ἀςόργως πρὸς ἀλλήλους διακειμένους, καὶ ὁμαίμονας ἀντιμισουμένους. Ἀλλ' ἐνταῦθα σημειωτέον, ὑπὲρ τῆς ἀληθείας αὐτῆς, ὅτι τὰ τοιαῦτα δυσμενῆ πάθη τὸ μὲν πλεῖςόν ἐςιν ἀξιόμεμπτα, ὅταν ὑπὸ πλάνης καὶ προλήψεως καὶ μηδεμιᾶς εὐλόγου αἰτίας γεννᾶται· ἐνίοτε ὅμως κρείττω πάσης ἐςὶ μομφῆς, ὡς μετὰ λόγου καὶ δικαίως ἐξαπτόμενα. Ταυτὰ δὴ προσθετέον καὶ περὶ τῆς φιλίας καὶ τῆς εὐγνωμοσύνης, αἷς ἀντίκεινται ἡ *ἔχθρα* καὶ ἡ *ἀγνωμοσύνη*.

§. 275. Ἴσως δ' οὐκ ἄκαιρον ἐπαναλαβεῖν τὸ αὐτὸ σκέμμα, ὅπερ καὶ ἀνωτέρω. Τὰ γὰρ συγγενικὰ πάθη, εὐμενῆ τε καὶ δυσμενῆ, ἰσχυρότερά ἐςι καὶ ζωηρότερα, ἢ τὰ ἁπλῶς ἐν ἀνθρώποις καὶ ἐν ἔθνεσι καὶ ἐν πολίταις διεγειρόμενα. Τὸ γὰρ κινοῦν ἐνταῦθα συνθετώτερον ὂν καὶ ἰσχυρότερον εἰς ἀφορμὴν ἡδονῆς ἢ λύπης, καὶ ἐνεργοῦν ἐκ τοῦ σύνεγγυς καὶ πυκνότερον, ἀδιαλείπτως κατέχει τὴν ψυχὴν, καὶ εἰς βάθος εἰσδύει καὶ ἀναμοχλεύει διὰ τῶν γλυκυτέρων ἢ ἀλγεινοτέρων προσβολῶν. Διὰ τοῦτο καὶ τὰ ἐν ἔρωτι ἢ ἐν μίσει θερμότερα πάθη ἐστὶ τὰ ἐν συζύγοις ἀναφαινόμενα, καὶ γονεῦσι πρὸς παῖδας καὶ ἀδελφοῖς πρὸς ἀλλήλους, ὅταν αἰτία τις οὐκ εὐκαταφρόνητος αὐτὰ ὑπεξάπτῃ· εἰς παραφορὰν γὰρ τότε τὸ πάθος ἐκτρέπεται, νῦν μὲν ἀφειδοῦν μεγίστων καὶ ὑπερτίμων πραγμάτων πρὸς χάριν, νῦν δὲ μαινόμενον παραδόξως πρὸς κακοποίησιν. Ταῦτα γὰρ τὰ πάθη τὰ ἀφ' ἑστίας ὁρμώμενα γίνεται καὶ ἐν τῷ βίῳ καὶ ἐν τῇ ἱστορίᾳ τὰ ἐπισημότερα καὶ σφοδρότερα· ἃ καὶ τὸ παθητικὸν μάλιστα ταῖς ποιητικαῖς τέχναις περιποιεῖ. Ἀληθὲς οὖν, ὅτι παρὰ τούτοις τὰ πάθη διεγείρεται μείζω, οἷς ἐγγύθεν διαιτωμένοις καὶ ἐν δεσμῷ φύσεως συνῳκειωμένοις, ῥᾷόν ἐςι καὶ τὸ ὠφελεῖν καὶ τὸ βλάπτειν. (α) Ταυτὰ δὲ ῥητέον καὶ περὶ τῆς φιλίας καὶ ἔχθρας, καὶ περὶ τῆς εὐγνωμοσύνης καὶ ἀγνωμοσύνης.

§. 276. Ἀλλ' ἵνα πέρας ἐπιθῶμεν τῇ ἐρεύνῃ τῶν *κοινωνικῶν*

(α) Διὸ καὶ Ἀριςοτ. Πολιτ. Βιβ. Ζ. κεφ. ς. 4. «ὅθεν εἴρηται, χαλεποὶ γὰρ πόλεμοι ἀδελφῶν, καί, οἵτε πέρα ςέρξαντες οἵδε καὶ πέρα μισοῦσι.» Ἀμφότεροι δ' οἱ ςίχοι ἐκ δραμάτων εἰσὶν Εὐριπίδου μὴ σωζομένων.



*παθημάτων*, ὀλίγ' ἄττα προσθετέον ἐκεῖνα. Ὥσπερ γὰρ τὰ φυσικὰ ὄντα ἡδύνει, οὐ μόνον ᾗ ὠφέλιμα, ἀλλὰ καὶ ᾗ καλά· ὁμοίως καὶ αἱ ἠθικαὶ δυνάμεις θέλγουσιν ἡμᾶς καὶ ἀρέσκουσι κατ' ἀμφότερα ταῦτα. Ὅταν μὲν γὰρ ἁπλῶς ἡμῖν ἀγαθαὶ ὦσι, μηδεμιᾶς χάριτος λεπτοτέρας εὐμοιροῦσαι, καὶ μηδὲν μέγεθος περιβεβλημέναι, τότε φιλοῦμεν αὐτὰς, ἀλλ' οὐ θαυμάζομεν, οὐδὲ σέβομεν· ὅταν δέ τι ὑψηλότερον πράττωσι, φερόμεναι ὑφ' ὁρμῆς τινος ποιητικωτέρας, καὶ μετὰ χάριτος διαφερούσης, τότε καὶ ἡμεῖς βαθύτερον καὶ εὐγενέστερον περὶ αὐτὰς παθαινόμεθα. Ὁρῶντες γὰρ αὐτὰς ἐκγοητευτικὰς, γενναίας ἢ ὑψηλὰς, οὐχ ἁπλῶς τότε φιλοῦμεν, ἀλλ' ἀγάμεθα καὶ ὑπερθαυμάζομεν. Τὸ γὰρ ἡρωϊκὸν μὲν ἐν πολίτῃ καὶ φίλῳ καὶ συγγενεῖ· τὸ γλυκὺ δὲ καὶ εὐφυὲς ἐν μητρὶ καὶ ἀδελφῇ, καθάπτεται ἡμῶν τῆς ψυχῆς, ἀναρπάζοντα καὶ ἀναμιγνύντα τῇ εὐμενείᾳ κίνησίν τινα λεπτοτέραν, ἣν μόνον τὸ καλὸν διεγείρειν πέφυκε. Τοὐναντίον δὲ καταφρονοῦμεν παντὸς ἀνθρώπου, χαμερπῶς καὶ ἀγενῶς λυμαίνεσθαι πειρωμένου· οἱ γὰρ φαῦλοι καὶ ἀνάξιοι ἐχθροὶ οὐχ ὅπως λυποῦσιν ἡμᾶς, ἀλλὰ καὶ εἰς ἀηδίαν φέρουσι, καὶ περιείδομεν ἂν αὐτοὺς ἐκ καταφρονήσεως, εἰμὴ ἐξεμαίνοντο καθ' ἡμῶν· ἀλλὰ καὶ ἀποκρουόμενοι τοὺς ἀνθρώπους, εὐλαβούμεθα πάνυ μὴ χράνωμεν ἑαυτοὺς ἐκ τῆς τούτων μιαρᾶς μοχθηρίας.

§. 277. Γον· *Παθήματα ἀναφερόμενα πρὸς τὸν Θεόν.*— Ἔλθωμεν δὲ νῦν καὶ ἐπὶ τὰ θρησκευτικὰ πάθη. Εἴτε οὖν ἐξ ἁπλῆς μόνον πίστεως, εἴτε καὶ ἐξ αὐτῆς τῆς ἐπιστήμης πιστεύομεν εἰς Θεὸν, ἅμα λαβόντες ἀληθῆ καὶ ὑγιᾶ περὶ αὐτοῦ ἔννοιαν ὁπωσοῦν, πεπείσμεθα ὅτι τὸ Ὂν τοῦτο ὡς παντέλειον καὶ παντοδύναμον καὶ παραίτιον παντὸς ἀγαθοῦ, αὐτὸ τὸ ἀκρότατον ἀγαθόν ἐστι, τὸ ὑπὲρ πᾶν ἄλλο ἀξιολάτρευτον· τοιαύτης δὲ φύσεως εὐμοιροῦν, οὐ μόνον ὡς ἀγαθὸν τέρπει, ἀλλὰ καὶ ὡς καλὸν ἐκγοητεύει, περιβάλλον τοῖς δημιουργήμασιν αὐτοῦ χάριν ἐπαγωγὸν καὶ μέγεθος εὐγενὲς, ἃ ἐναποστίλβοντα δείκνυσι τρανῶς τὸ ὕψος τῆς ἐν αὐτῷ σοφίας καὶ καλλονῆς. Ἔστι γὰρ ὁ κατ' ἐξοχὴν καὶ μετὰ πάσης τῆς δόξης ποιητής· ὅτι *ποιεῖ* ἀληθῶς, καὶ ἐν τοῖς ποιήμασιν αὐτοῦ

ἐκλάμπει τότε σοφὸν καὶ τὸ ἐπίχαρι, ὅτε τῆς τάξεως καὶ ὁ τῆς τέχνης νόμος, ἐφ' οἷς ἀδύνατον μὴ εὐλογεῖν καὶ θαυμάζειν. Τίς γὰρ ἂν οὐκ ἀγαλλιάσαιτο πρὸς τοσαύτας τελειότητας, καὶ εἴτε τὸν ἄνθρωπον καὶ τὴν φύσιν θεωρῶν, εἴτε ἐν μυστηριώδει τινὶ ἐποπτείᾳ καθαρωτέρᾳ τε καὶ ὑψηλοτέρᾳ, πρὸς αὐτὸν τὸν Θεὸν μακαρίως ἀναρπαζόμενος, οὐκ ἐμπλησθείη χαρᾶς ἀμυθήτου καὶ ἔρωτος ἀνεκφράστου; Τίς δὲ καὶ ἐκ τῶν χλιαρωτέραν τὴν εἰς Θεὸν πίστιν ἐχόντων οὐκ ἐνέτυχέ ποτε περιστάσεσιν, ὅπου ὁ νοῦς ἀπὸ τοῦ πεπερασμένου μεθαλλόμενος εἰς τὸ ἄπειρον, καὶ ὅλως ἐκ τοῦ νοητοῦ καὶ ἀοράτου γινόμενος κάτοχος, ἀναμίγνυσι τοῖς ἐπιγείοις ἀλλοίαν τινὰ ὁρμήν, καὶ μυστηριώδη τινὰ ἀνάτασιν, ἰσχυράν τε καὶ γοητευτικήν, ὅς ὁ *Θεῖος ἔρως* ὄντως ἐστί;

§. 278. Τοῦτο δὲ μάλιστα πάσχουσιν οἱ φύσει χρηστοὶ καὶ εὐσεβεῖς, ὅσοι ἐντραφέντες ἐν εἰρήνῃ καὶ ἀληθείᾳ, καὶ ὑπὸ στοργῆς τινος καὶ εὐλαβείας ἐπικαμπτόμενοι, πλήρεις ἐλπίδων ὄντες καὶ εὐγνωμοσύνης, αὐτόχρημα χριστιανικὸν βίον διάγοντες ἐν πεποιθήσει καὶ καρτερίᾳ, ἅμα τὸ Θεῖον ἐννοήσαντες, λατρεύουσιν αὐτῷ λατρείαν διάπυρον. Τούτους δὲ τοὺς ἄνδρας ἀπερίγραπτος ἔρεσις ἐπείγει εἰς τὸ ἑνοῦσθαι μετὰ τοῦ Θεοῦ, καὶ ζῆν ἐν τῇ μετ' αὐτοῦ κοινωνίᾳ, ἀσμένως αὐτῷ τὰς πτυχὰς ἀναπεταννύντας τῆς διανοίας, ἐπικαλουμένους τε καὶ εἰσδεχομένους, καὶ οὕτω τῆς αὐτοῦ παρουσίας καὶ ἁγιότητος καὶ χάριτος διψαλέως ἐμφορουμένους. Κατεντρυφῶντες δὲ καὶ μεθύοντες εἰς τὰς ἁγίας ταύτας καὶ θεοπρεπεῖς ἀγαλλιάσεις, ὅσας εὐχὰς καὶ ἐπικλήσεις ἐκ μυχῶν καρδίας ἀναστενάζουσιν, ὅλως ἐκ τῶν χαμαιζήλων πραγμάτων ἀποσπώμενοι, καὶ πρὸς τὴν λαμπρότητα τῶν οὐρανῶν ἐξιστάμενοι· οὐδ' ἔχει τις παραβαλεῖν πρὸς τὸ ἀκήρατον τοῦτο μέθυ οὐδεμίαν τῆς γῆς ἡδονήν, ὅσον περ ἂν ᾖ βαθεῖα καὶ ἰσχυρά.

§. 279. Ὃ δὲ μάλιστα χαρακτηρίζει τὸν θεῖον ἔρωτα, ὅταν εἰς τὸν ἐνθουσιασμὸν ἀνυψῶται, ἐστὶν ὅτι συμπνίγει εἰς ἑαυτὸν πᾶν ἕτερον πάθος, αὐτὸς ὅλην πληρῶν τὴν ἔρεσιν τῆς ψυχῆς, καὶ κατακυριεύων καὶ ἀδιάφορον καὶ νεκρὰν καθιστὰς αὐτὴν πρὸς τὰ μυρία ταῦτα κερδάρια τοῦ ἀνθρωπίνου βίου. Ἀποσπᾷ μὲν οὖν



ἡ θρησκεία τὸν ἄνθρωπον ἀπὸ τῶν τῇδε· ἀλλ' ὅταν ᾖ ἀληθινὴ καὶ ὀρθή, οὐκ ἀποδοκιμάζει παντάπασι καὶ τὰς ἄλλας εὐγενεῖς καὶ ἀνθρωπικὰς ἡδονάς· (α) μᾶλλον δὲ καὶ προκαλεῖται καὶ διεγείρει τὰ ὑγιᾶ πάθη τὰ ἀναφερόμενα πρὸς τὰ γήϊνα πράγματα, ῥυθμίζουσα καὶ συναρμολογοῦσα ταῦτα πρὸς τὴν ἔννοιαν τοῦ Ὑψίστου, καὶ καθυπάγουσα ὑπὸ τὴν εὐσέβειαν καὶ καθαγιάζουσα διὰ ταύτης τῆς συζεύξεως καὶ ἐπικοινωνίας. Οὐ γὰρ κωλύει, ἄπαγε, ἀγαπᾶν τὸν ἄνθρωπον καὶ τὴν φύσιν· κελεύει δὲ μόνον τὸν Ποιητὴν ἐν αὐτοῖς δοξολογεῖν, καὶ ἥδεσθαι τούτοις ὡς θείοις χειροτεχνήμασί τε καὶ εὐεργετήμασι. Οὕτω γὰρ μόνον ἀποσπῶσα τὴν διάνοιαν ἀπὸ παντὸς ἐφημέρου καὶ διαῤῥέοντος καὶ φθαρτοῦ, καὶ ἀνυψοῦσα ἀδιαλείπτως πρὸς τὴν ἄπειρον δύναμιν, ὑποστηρίζει καὶ ἐνισχύει αὐτὴν διὰ τοῦ οὐρανίου τούτου πόθου, ἐμποιοῦσα τὸ δῶρον τῆς ἀρετῆς, ἧς οὐδέποτε στέρεται ὁ προσηλωμένος τῷ χορηγῷ τῆς νοήσεως καὶ τῆς ἐνεργείας, καὶ βαδίζων συμφώνως ταῖς θείαις βουλαῖς, καὶ τῇ παρ' αὐτοῦ ἁρμονίᾳ καὶ τάξει ἀρεσκόμενος, καὶ ὁλοψύχως αὐτῇ συναρμοζόμενος.

(α) Παρεκτροπὴ τοῦ θείου ἔρωτός ἐστιν ἡ ἔκστασις (mysticisme ὁ μυστικισμὸς ἢ θεϊκασμὸς ἢ ἐνθουσιασμὸς κτλ.) δι' ἧς ἐξιστάμενός τις τῆς αὐτότητος καὶ τοῦ λόγου αὐτοῦ, οἴεται ὅλος εἰς Θεὸν ἑνοῦσθαι ἕνωσιν οὐσιώδη, θεοποιούμενος ἄρα. Ταύτην δὲ τὴν ἐκστατικὴν διάθεσιν περὶ πολλοῦ εἶχεν ἡ Ἀλεξανδρινὴ αἵρεσις, ὡς δύναμιν κρείττω δή τινα τοῦ λόγου οὖσαν, δι' ἧς ἀποκαλύπτεσθαι ἡμῖν ἐνόμιζε τὰς μυστηριώδεις καὶ τῷ λόγῳ ἀνεφίκτους ἀληθείας· ἀλλὰ συνέχεον ταύτῃ τὸν παρά τισι καθολικὸν καὶ ἀπρόσωπον λόγον. (Ὅρ. §. 121 κξ.) Ἔστι μὲν τοίνυν καὶ ἐν τῷ περὶ νοήσεως εἰπεῖν περὶ τῆς ἐκστάσεως, ἔστι δὲ καὶ ἐν τῷ περὶ ἐλευθερίας· ὅτι πολεμία φύσει ἐστὶ κατὰ τῆς βουλήσεως, ἀταραξίαν τινὰ (quietisme = ἀπάθειαν, ἠρεμίαν) ἐνσπειρομένη. Ὅρ. §. 313. Ἐπεὶ δ' ἀντιστρατεύεται σφόδρα καὶ κατὰ τῆς φιλαυτίας, ἔρωτα ἁγνὸν καὶ ἀφίλαυτον (amour pur et desinteressé) διώκουσα, ἔγνωμεν ἐν παρόδῳ μνησθῆναι ἐνταῦθα. Καὶ τὸ μὲν ὁμολογεῖν τὴν ἐν ἡμῖν ἀσθένειαν, καὶ ὡς πρὸς τὴν τῆς ἀληθείας εὕρεσιν, καὶ ὡς πρὸς τὴν ἁγνότητα τοῦ πάθους, καὶ ὡς πρὸς τὴν κατόρθωσιν τῆς ἀρετῆς, καὶ τὴν θεόθεν πρὸς ταῦτα ἐπικαλεῖσθαι ἀντίληψιν καὶ ὁδηγίαν, τοῦτο μὲν κάλλιστόν ἐστι· τὸ δ' ἀποσβέσαι ὅλως ἀξιοῦν τὴν εἰς ἡμᾶς τριλαμπῆ ταύτην χάριν, δι' ἧς νοοῦμεν μὲν τ' ἀληθές, ὀρεγόμεθα δὲ τ' ἀγαθοῦ, κατορθοῦμεν δὲ τὴν ἀρετήν, τοῦτο δὲ ἄτοπόν ἐστιν. Ὁ γὰρ λόγος ἐν ἡμῖν θεόσδοτόν τι φῶς ἐστιν, ἡ λαμπρὰ τῆς αὐταληθείας ἔμπνευσις, ἡ δὲ φιλαυτία τὸν τοῦ καλλίστου τῶν ὄντων ἔρωτα ἐμποιεῖ, (Ὅρ. § 298) ἡ δ' ἐλευθερία, ὁ ὕπατος ἐστι βαθμὸς τῆς ἐν ἡμῖν ἐνεργητικότητος.

§. 280. Πρὸς τὴν ἀκριβῆ δὲ παράστασιν τῆς πρὸς τὸ Θεῖον ὁρμῆς τοῦ παθητικοῦ, μᾶλλον ποιητικοῦ λόγου δεῖ καὶ ἀρχαίου, καὶ φράσεως μεγαλοπρεποῦς καὶ θεηγόρου, οἵα δὴ πλουτοῦσιν αἱ Ἅγιαι Γραφαί. Ἃ γάρ τις παθαίνεται κατειλημμένος τῷ θείῳ ἔρωτι, ταῦτα μᾶλλον κάλαμος ὀξυγράφου καὶ περιπνόου γραμματέως δηλώσει. Ἡ δὲ λογικὴ μέθοδος ὀνομάζει μὲν, ἀλλ᾿ οὐ διαγράφει· ὑποδείκνυσι μὲν, ἀλλ᾿ οὐκ ἐξηγεῖται· ὑποτυποῦται μὲν τὴν ἀλήθειαν, ἀλλ᾿ οὐκ ἐξακριβοῦται αὐτὴν εἰς βάθος. Τὸ γὰρ θρησκευτικὸν διανόημα ἔγκειται μᾶλλον ἐν τοῖς ὕμνοις, ἢ ἐν τῇ ξηρᾷ καὶ ἀκριβολόγῳ ἐκθέσει τῶν συλλογισμῶν. Διὰ τοῦτο καὶ τὰ ἡμέτερα ταῦτα περὶ τοῦ θείου ἔρωτος γλίσχρως εἰρημένα, ἴσως μὲν ἐστι συνεπέστερα καὶ φιλοσοφικώτερα, ψυχρὰ δ᾿ ἄλλως καὶ οὐκ ἐκδηλοῦντα, ὅσον δεῖ, τὴν μυστηριώδη ἐκείνην κίνησιν τὴν ἀναρπάζουσαν τὴν ψυχὴν τοῦ ἀνθρώπου πρὸς τὸν αἴτιον τῆς αὐτοῦ ὑπάρξεως.

§. 281. Ἀλλὰ πάντες οὐ ταυτὰ ὀρθοφρονοῦσι περὶ τοῦ Θεοῦ. Ἔνιοι γὰρ ἀναπλάττονται τοῦτον ὡς δύναμίν τινα ἄμοιρον ἀγαθότητος καὶ σοφίας, περιβάλλοντες αὐτῷ βουλὰς κακεντρεχεῖς καὶ κακωτικὰς, ὡς ἐπὶ τούτῳ δῆθεν δημιουργοῦντι, ἵνα κολάζῃ χαιρεκάκως τὰ αὐτοῦ δημιουργήματα, μηδενὸς ἁπλῶς φειδόμενος, ἀλλὰ πάντα σατανικῶς ἐξολοθρεύων, αὐτὸ τοῦτο ὢν ἀληθῶς Ἄτη *κατ᾿ ἀνδρῶν κράατα βαίνουσα*. Αὕτη μὲν οὖν τερατωδεστάτη ἔννοιά ἐστι περὶ τῆς παντελείου καὶ ἀκηράτου οὐσίας, πάθος δήπου ἐνδιεγείρουσα ἀντίπνοον τῷ προειρημένῳ. Εἰσὶ δὲ καί τινες, οἱ μετριώτεροι δοκοῦντες οὐχ ἥκουσι μὲν εἰς οὕτω βλάσφημον καὶ ἀλλόκοτον φαντασίαν, περιάπτουσι δ᾿ αὖ τῷ κατ᾿ αὐτοὺς Θεῷ τοσαύτας ἀσθενείας καὶ ἐλλείψεις, ὥστε μηδαμῶς εἶναι, πολλοῦ γε καὶ δεῖ, τὸν τύπον τῆς τελειότητος. Εἰ γὰρ καὶ παρὰ τούτοις οὐκ ἔστιν αὐτὸς ὁ πονηρὸς δαίμων κατ᾿ οὐσίαν καὶ ἡ αὐτόχρημα ἐριννὺς, δοκεῖ ὅμως ἐπὶ Γῆς εἶναι μᾶλλον τοιοῦτος ἢ ἐν Ἅδου· ἀδιαλείπτως μὲν γὰρ καταμαστίζειν ἀνηλεῶς οὐκ οἴονται, ὡς οἱ πρῶτοι ἐκεῖνοι, οὐχ ὅμως εἶναι καὶ φύσει ἀγαθὸν, ἀλλὰ μέγας τις καὶ δεινὸς ἐχθρὸς ἐγρήγορεν ἐν τῷ Οὐρανῷ ὁ Θεός. Πῶς οὖν

SISMANOGLIO



οἱ οὕτω πεπλανημένοι περὶ τῆς θείας φύσεως εὐσεβήσουσι καὶ ἀγαπήσουσι τὸν Ποιητὴν τοῦ παντός; Ἀλγοῦσιν ἄρα ἐπὶ τῷ Θεῷ οὕτω πονηρῷ νομιζομένῳ, καὶ ἀλγοῦντες μισοῦσι καὶ ἀποστρέφονται· ὃ δὴ καὶ παρωθεῖ ἐνίοτε εἰς τὴν φρικώδη ἀσέβειαν τῆς αὐτοχειρίας. Οὕτως οὖν ἐξηγούμεθα καὶ τὴν ἐξαίρεσιν τοῦ νόμου τοῦ συνάπτοντος διηνεκῶς τὸν ἄνθρωπον τῇ πλαστουργῷ αὐτοῦ αἰτίᾳ.

§. 282. Δον· *Παθήματα συμπαθητικὰ καὶ ἀντιπαθητικά.*— Δηλώσωμεν δὲ νῦν καί τινα περίστασιν ἄλλως πως εἰδοποιοῦσαν τὰ προεκτεθειμένα παθήματα, καὶ εἰς συμπαθήματα ἢ εἰς ἀντιπαθήματα αὐτὰ μεταβάλλουσαν. Ὅταν γὰρ τὰ ἀγαθὰ ἢ τὰ κακὰ οὐχ ἡμᾶς αὐτοὺς ἀμέσως διατιθῇ, ἀλλὰ τοὺς ὁμοίους ἡμῖν, συγκινούμεθα ἐμμέσως ἐπὶ τῇ ἐκείνων ἡδονῇ ἢ λύπῃ, συνδιατιθέμενοι ἢ ἀντιδιατιθέμενοι τούτοις. Εἰ μὲν οὖν οἱ πέλας ἀπάθητοι ἦσαν, ἦμεν ἂν ὡς πρὸς τοῦτο καὶ αὐτοὶ ἀκίνητοι καὶ ἀδιάφοροι· νῦν δὲ τὸ ἐν ἐκείνοις πάθος ἀντενεργεῖ καὶ ἐπὶ τὴν ψυχὴν ἡμῶν, καὶ οἷον ἀντανακλᾷ καὶ ἀντιδίδωσιν ἐς ἡμᾶς τὴν κατ᾿ αὐτῶν ἄμεσον ἐπενέργειαν. Ταῦτα δή ἐστι καὶ τὰ ἐξ ἀντιδόσεως παθήματα.

§. 283. Ἀλλὰ πρῶτον μὲν ἀνάγκη, ἵνα συνδιατιθώμεθα οὕτω τοῖς περὶ ἡμᾶς οὖσι, παθητὰ νομίζειν αὐτὰ καὶ εὐκίνητα πρὸς ἡδονὴν ἢ λύπην. Διὰ τοῦτο καὶ οἱ ὅμοιοι ἡμῶν, καὶ τούτων αὖ οἱ συζῶντες ἡμῖν καὶ ἐκ τοῦ σύνεγγυς κοινωνοῦντες, ἰσχυροτέραν ἡμῖν ἐνδιεγείρουσι τὴν *συμπάθειαν* ἢ τὴν *ἀντιπάθειαν*. Δεύτερον δὲ, ἀνάγκη μὴ ἀδιαφόρως ἡμᾶς διακεῖσθαι περὶ τοὺς ἀμέσως παθαινομένους, ἀλλὰ φίλους ἢ ἐχθροὺς εἶναι, ἵνα μὴ ὁρῶμεν ψυχροῖς ὄμμασι τὸ ἀγαθὸν ἢ τὸ κακὸν τὸ ἐπισυμβαῖνον αὐτοῖς. Εἰ γὰρ εἴημεν ἀπαθεῖς θεαταὶ τῆς ἐν ἐκείνοις διαθέσεως, καὶ μηδὲν ἡμῖν μέλοι τῆς ἐπ᾿ ἄμφω μεταβολῆς τῆς γινομένης περὶ αὐτοὺς, οὔτε φιλοῦσιν ὅλως οὔτε μισοῦσιν, ἡ ἀδιαφορία αὕτη ἐάσειεν ἂν ἡμᾶς ἄνευ *συμπαθείας* ἢ *ἀντιπαθείας*.

§. 284. Ἐπ᾿ ἀμφοτέροις οὖν τούτοις, τῷ τε γινώσκειν τὴν ἐνδόμυχον φύσιν τῶν περὶ ἡμᾶς, τῷ τε μὴ ἀδιαφορεῖν πρὸς τὰ ἐκείνοις συμβαίνοντα, καθικνεῖται καὶ ἡμῶν ἐξ ἀντιτυπίας τοῦθ᾿ ὅπερ

οἱ ἄλλοι πάσχουσιν. Ἀλλὰ κατὰ τὴν περὶ αὐτοὺς διάθεσιν ἡμῶν, ἤτοι συμμετέχομεν τοῦ πάθους, συγχαίροντες καὶ συλλυπούμενοι ὁμοίως, ἐρῶντές τε καὶ μισοῦντες συμφώνως αὐτοῖς, ἐπιθυμοῦντες καὶ ἀποστρεφόμενοι μετ' αὐτῶν, συνελπίζοντες καὶ συνδεδιότες, καὶ πάντα ἁπλῶς συμπαθαινόμενοι· ἢ τοὐναντίον ἀντιπαθοῦμεν πρὸς τὰ ἐκείνων παθήματα, ἐπιχαίροντες μὲν ἐφ' οἷς ἐκεῖνοι λυποῦνται, σκυθρωπάζοντες δ' ἐφ' οἷς ἐκεῖνοι ἥδονται, καὶ ἐλπίσι μὲν τερπναῖς ὑποθαλπόμενοι ἐκ τῶν ἐκείνους ἐκδειματούντων· φόβῳ δὲ συνταρασσόμενοι διὰ τὰ ἐκείνους εὐφραίνοντα καὶ καθιστῶντα εὐέλπιδας κτλ.

§. 285. Συμπαθεῖς οὖν ἢ ἀντιπαθεῖς γινόμεθα πρὸς πάντα τὰ προεκτεθειμένα πάθη τῶν ἄλλων, εἴτε πρὸς τὴν φύσιν, εἴτε πρὸς τὸν ἄνθρωπον, εἴτε πρὸς τὸν Θεὸν ἀναφέρονται. Καὶ οὐδὲν ὅλως ἐςὶ πάθημα, ὃ μὴ ἐνδιεγείροι τῷ λογικῷ καὶ εὐπαθήτῳ θεατῇ ὁρμήν τινα σύμφωνον ἢ ἀντίφωνον τῷ πάσχοντι. Δῆλον δὲ ὅτι τὰ ἐξ ἀντιδόσεως ταῦτα συγκινήματα τῆς ψυχῆς, συμπαθητικά τε καὶ ἀντιπαθητικὰ, ἀγαθὰ ἐςιν ἢ κακὰ κατὰ τὴν φύσιν τῶν πρὸς ἃ ἀντιςοιχεῖ ἀμέσων παθημάτων. Φανερὸν δ' ἔτι ὡς εἴη ἂν ψευδῆ τε καὶ ἄτοπα, εἰ πρὸς μηδὲν ἐν τῷ ἑτέρῳ πάθημα ἀναφέροιτο καὶ ἀφορμὴν μηδεμίαν ἔχοι· συμπαθεῖν γὰρ ἢ ἀντιπαθεῖν τῷ μηδέν τι πάσχοντι μωρία ἐστὶ καὶ πλάνη πολλάκις ὀλεθρία, ὥσπερ καὶ ὅταν τις χαίρῃ ἢ ἀλγῇ ἐπ' ἀγαθοῖς ἢ κακοῖς ἀνυπάρκτοις.

§. 286. Ἀλλ' ἐπειδὴ οὐδὲν τῇ καθ' ἡμᾶς φύσει ἄλογον ἔνεςιν, ἔχει τι τέλος καὶ ἡ συμπάθησις καὶ ἡ ἀντιπάθησις, ὥσπερ δὴ καὶ αὐτὴ ἡ πάθησις· ἄλλως γὰρ ἂν οὐδεμίαν χώραν ἔχοιεν ἐν τῇ τάξει τῶν πραγμάτων, ἀλλ' εἰκῇ παντάπασι φέροιντο καὶ παρατράγῳδα εἶεν. Οὐ μέν τοι γε ἄτοπά ἐστι καὶ παρὰ φύσιν τὰ τοιαῦτα πάθη· ἀλλ' ἀγαθαὶ μέν εἰσιν ἡ συμπάθεια καὶ ἡ ἀντιπάθεια, ἡ μὲν ὅταν γεννᾶται πρὸς πάθη ἀγαθὰ, ἡ δὲ, πρὸς πάθη βδελυρά. Ὁμολογουμένως γὰρ καλόν ἐστι τὸ συνδιατίθεσθαι μὲν διανοίᾳ ὑγιαινούσῃ, ἀντιδιακεῖσθαι δὲ καρδίᾳ παρεκτρεπομένῃ. Κακαὶ δέ εἰσιν, ὅταν ἡ μὲν συμπάθεια προκύπτῃ ἐν αἰσχροῖς· ἡ δ' ἀντιπάθεια, ἐπ' ἀγαθοῖς· ἐπίμεμπτον γὰρ συμπαρεκτρέπεσθαι μὲν τοῖς παθαι-



νομένοις διάστροφα, ἀκοινωνήτους δὲ μένειν καὶ ἀμετόχους τῶν εὐγενῶν καὶ ὀρθῶν παθημάτων. Ἐξ οὗ δῆλον, ἵν' ἐν παρόδῳ καὶ τοῦτο ἀποδείξωμεν, ὅτι σαθρὰ καὶ ἐπιλήψιμός ἐστιν ἡ ἠθικὴ θεωρία ἡ τὴν *συμπάθειαν* λαμβάνουσα ὡς ἄριστον καὶ μοναδικὸν κανόνα πρὸς τὴν τοῦ βίου διεξαγωγήν· ἀνάγκη γὰρ καθυποβαλεῖν ταύτην πρότερον ἑτέρᾳ τινὶ θεωρίᾳ ὑψηλοτέρᾳ τε καὶ ἀληθεστέρᾳ, ἣ μόνη δύναται ἀποφαίνεσθαι καὶ δικάζειν πῶς μὲν ὀρθῶς καὶ κατὰ τάξιν, πῶς δὲ ἀλόγως καὶ ἡμαρτημένως χωρεῖ ἡ συμπάθεια.

§. 287. Ἀπορήσειε δ' ἄν τις διατί οὐ πᾶσιν ἁπλῶς συμπαθοῦμεν, ἀλλ' ἔστιν οἷς καὶ ἀντιπαθοῦμεν· ὅτι εἰσί τινες μισητέοι παρ' ἡμῖν, οἱ μηδαμῶς ἡμῖν ἀγαθοὶ ὄντες, καὶ ξένοι ὅλως ὡς πρὸς ἡμᾶς, ὧν ὁ βίος παντάπασι διακρίνεται ἀλλότριος ὢν ἀπὸ τοῦ ἡμετέρου· ἀδύνατον δὲ ὂν ταυτίσαι τὰς διανοίας ἡμῶν πρὸς τὰς ἐκείνων, ἀντιθέτως φύσει καὶ παθαινόμεθα. Καί γε εἰκότως· μόνῳ γὰρ τῷ φίλῳ συμπάσχειν πέφυκα, ὃς συζῶν ἐμοὶ καὶ ἀχώριστον ἔχων ὅλον αὐτοῦ τὸν βίον ἀπὸ τοῦ ἐμοῦ, καὶ συνυπάρχων μοι οὕτως εἰπεῖν ἐν μιᾷ συνειδήσει ἐστὶν *ἄλλος ἐγώ*, συνδιατιθεὶς ἅμα καὶ συνδιατιθέμενος ἐν ἅπασι τοῖς παθήμασιν. (α)

§. 288. Ἐπεὶ δ' ἔσθ' ὅτε συμβαίνει ἐνοχλεῖσθαι μὲν καὶ ὑπὸ τοῦ φιλτάτου, χαίρειν δὲ κατά τι καὶ ἐπὶ τῷ ἐχθίστῳ, τότε δὴ τῇ τῶν πραγμάτων τάξει συναντιστρέφει καὶ ἡ τάξις τῶν παθημάτων, καὶ τῷ μὲν φίλῳ ἀντιπαθοῦμεν, τῷ δ' ἐχθρῷ συμπαθοῦμεν·

(α) Ὅρ. Ἀριστ. Ἠθ. Εὐδημ. Ζ. ς. « Βούλεται γὰρ μάλιστά γε οὐ μόνον συλλυπεῖσθαι ὁ φίλος τῷ φίλῳ, ἀλλὰ καὶ τὴν αὐτὴν λύπην, οἷον διψῶντι συνδιψῆν. . . . » Ὅρ. καὶ Ἠθικ. Μεγ. Β. ιά. Κάλλιστα δὲ καὶ βαθύτατα τιθεὶς Ἀριστ. τὴν ζωὴν καὶ ἐνέργειαν ἐν τῷ διανοεῖσθαι, ἀποφαίνεται ὅτι ὁ σπουδαῖος συζῇ ἑαυτῷ τε καὶ τῷ φίλῳ· τὸ μὲν ὅτι πράττει τ' ἀγαθὸν ἑαυτοῦ ἕνεκα, ὡς ἀναπτυσσόμενος τὸ διανοητικὸν, ὅ π ε ρ ἕ κ α σ τ ο ς ε ἶ ν α ι δ ο κ ε ῖ. Ὅρ. Βιβλ. Θ. κεφ. δ. καὶ θ. Ἔνθα καὶ τὸ Καρτεσιανὸν προϋπολανθάνει ἀξίωμα, « αἰσθάνομαι ἢ νοῶ· οὐκοῦν ἐνεργῶ καὶ εἰμί· » τὸ δὲ, ὅτι καὶ ἡ φιλία ἐνέργημά τι διανοητικόν ἐστι, « καὶ ἡ φιλία (ἐκ) τούτων εἶναί τι δοκεῖ· » καὶ αὔξει καὶ αὐτὴ τὴν ὕπαρξιν ἑκάστου, οἱονεὶ διπλασιάζουσα αὐτὴν διὰ τῆς ταυτίσεως δύο ψυχῶν εἰς μίαν, « ἔστι γὰρ ὁ φίλος ἄλλος αὐτός. » Ὁ δ' ἀγαθὸς ἀντίκειται τῷ πονηρῷ, οὐδαμῶς συναναχρωννύμενος τούτῳ· ὅτι ἡ κακία ἐςὶ στέρησις ζωῆς καὶ ἀδράνεια διανοητική· διὸ ἀντιδιατίθεται αὐτῷ, ἢ ἐμμένοντι τῇ πονηρίᾳ.

ὁ μὲν γὰρ ἀπαρέσκει ἡμῖν, ὁ δὲ τοὐναντίον φαίνεται τοιοῦτος, οἷον ἂν εἶναι ἡμῖν διὰ παντὸς εὐξαίμεθα· δικαία οὖν αὕτη ἡ τῶν συμπαθῶν καὶ ἀντιπαθῶν ἡμῖν προσώπων παράδοξος ἐναλλαγὴ καὶ ἀντικατάστασις. Ἐν γὰρ τοῖς τότε συμβαίνουσιν εἴποι τις ἂν μονονουχὶ, ὡς ὁ μὲν φίλος οὐκέτι ἐστὶ φίλος· ὁ δ' ἐχθρὸς οὐκ ἔτι ἐστὶν ἐχθρός· διὸ καὶ ὀφείλομεν, ἕως ἂν τὰ πράγματα οὕτως ἐνηλλαγμένα ᾖ, πρὸς μὲν τὸν πρὶν μὲν φίλον, νῦν δ' ἐναντίον διχονοεῖν· πρὸς δὲ τὸν πρὶν μὲν ἐχθρὸν, νῦν δὲ κατά τι φίλον ὁμονοεῖν.

---

## ΚΕΦΑΛΑΙΟΝ Β^ον. (Τέλος καὶ συμπέρασμα.)

### 3^ον. *Περὶ τῆς παθήσεως θεωρουμένης ἐν τῇ ἀρχῇ καὶ αἰτίᾳ αὐτῆς.*

•

§. 289. Καὶ ταῦτα μὲν εἰρήσθω ἐπὶ τοσοῦτον περὶ τῶν ποικίλων τρόπων καὶ προόδων τοῦ πάθους· ἤδη δ' ἑξῆς ζητητέον καὶ τίς ἡ πηγὴ ἢ ἡ πρώτη αὐτοῦ αἰτία καὶ ἀφορμή. Ἐπειδὴ δὲ πάντες οἱ ἐκτεθειμένοι τρόποι τοῦ πάθους ἀνάγονται ἀρχικώτατα εἰς τὴν ἡδονὴν καὶ τὴν λύπην, (α) εὕροιμεν ἂν τὴν ζητουμένην ἀρχὴν, εἰ καταμάθοιμεν πόθεν ἑκάτερον τούτων ἀνίσχει. Διατί οὖν ἡδόμεθα καὶ λυπούμεθα καὶ τὰ παρακολουθοῦντα τοῖν ἀρχικοῖν τούτοιν παθημάτοιν ὑφιστάμεθα;

§. 290. Καὶ δὴ λέγομεν, ὅτι πρῶτον ὀντολογικῶς σκοποῦντες τὸ πάθος, δύο λόγους ἀνευρίσκομεν οὐσιώδεις καὶ ἀναγκαίους, δι' οὓς ἡ ψυχὴ παθαίνεσθαι πέφυκε· τὸν μὲν, διότι οὐχ ἁπλῶς οὕτω δεδημιούργηται, ἀλλὰ πρός τι τέλος· τὸν δὲ, διότι τὸ τέλος ἐφ' ᾧ

(α) Ἀριστ. Ἠθικ. Νικομ. Βιβ. Β. ε'. «Λέγω δὲ πάθη μὲν, ἐπιθυμίαν, ὀργὴν, φόβον, θράσος, φθόνον, χαράν, φιλίαν, μῖσος, πόθον, ζῆλον, ἔλεον, ὅλως οἷς ἕπεται ἡδονὴ ἢ λύπη.»

SISMANOGLIO



προώρισται οὐ φαῦλον οὐδ' ἀγενές ἐστιν, ἀλλ' ἀγαθὸν καὶ μεγίστης σπουδῆς ἄξιον. Εἰ μὲν γὰρ φύσει πρὸς οὐδὲν κατηπείγετο ὡρισμένον τέλος, οὐδὲν ἂν αὐτῇ διέφερε, καὶ οὐδὲν ἂν ἐκίνει ἐς ἡδονὴν ἢ λύπην, ὡς οὔτ' ἄγον οὔτ' ἀπάγον ἀπὸ τοῦ προκειμένου· ἦν δ' ἂν κατὰ τῶν πλοίων τὰ ἀνερμάτιστα, ἀσκόπως ἐν τῷ βίῳ πελαγιζομένη καὶ οὐδεμία ἦν ἂν αὐτῇ μηχανὴ συνιδεῖν, πότερον καλῶς ἢ κακῶς φέροιτο· μὴ γάρ που ἔχουσα τὸ *οὗ ἕνεκα*, οὐκ ἂν ἠδύνατο κρίνειν ἐν ταῖς ποικίλαις πράξεσι καὶ περιπετείαις τοῦ βίου τίς ἡ τάξις καὶ τίς ἡ ἀταξία, ἀλλὰ πάντα συνέχεε καὶ ἐν ἴσῃ ἐτίθετο. Εἰ δ' αὖ προὔκειτο μὲν αὐτῇ ὅδε τις σκοπὸς, φαῦλος δέ τις καὶ ἀνάξιος καὶ οὐκ ἀγαθὸς, οὐδ' ἂν οὕτως εἰκὸς ἦν πλεῖστον λόγον ποιεῖσθαι τῶν συντεινόντων αὐτῇ ἢ ἀντιτεινόντων πρὸς τοῦτον, ὡς μηδεμιᾶς τιμῆς ἄξιον θεωρούμενον.

§. 291. Οὕτως οὖν εἰ καταφρονεῖ τοῦ ὡρισμένου αὐτῇ τέλους, ἐν βαθυτάτῃ ἀπαθείᾳ ἠρεμοῦσα διατελέσει, κἂν ἄλλως εὐμοιρῇ που συναισθήσεως καὶ ἔρωτος. Καιμὴν ἀντίφασις ἂν εἴη αὕτη λαμπρὰ πρὸς τὴν προκειμένην ὑπόθεσιν· τί γὰρ ἂν ὠφελήσειεν αὐτὴν ἡ συναίσθησις καὶ ὁ ἔρως, εἰ τὸ γινώσκειν καὶ τὸ φιλεῖν ἑαυτὴν πρὸς μηδὲν τέλος ἐνεπεφύκει, ἀλλὰ κενὰ καὶ ἀλυσιτελῆ παντάπασιν ἦν; Ἡ μὲν γὰρ συνείδησις οὔτι γενναῖον αὐτῇ παρέχουσα, ἀλλὰ μικρόν τι καὶ αὐτόχρημα *οὐδὲν*, οὐκ ἂν ἐξεγείρειεν ἐκ τῆς ἐνδομύχου ληθαργίας. Ὁ δ' αὖ ἔρως δυνάμει μὲν τάχ' ἂν εἴη, ἐντελεχείᾳ δὲ οὔ, χήτει πάσης ἱκανῆς ἀφορμῆς· οὕτω δ' ἐξ αὐτῆς τῆς φύσεως τῶν πραγμάτων παντελὴς ἂν ἀπεμάραινεν ἀδράνεια τὰς ἐνούσας αὐτῇ δυνάμεις καὶ δεξιότητας. Ὥστε ὀντολογικῶς, καθάπερ δέδεικται, ἵνα ἡ ψυχὴ ἐπιδεκτικὴ παθημάτων ᾖ, ἀνάγκη ἐστὶν οὐ μόνον πρός *τι τέλος* ἀποβλέπειν, ἀλλὰ καὶ πρὸς *ἀγαθὸν τέλος*. Καί τοι ἀμφότερα ταῦτα ἓν κυρίως ἐστί· πρῶτον μὲν γὰρ τὸ μὴ ἀγαθὸν τέλος οὐδὲ τέλος ἂν εἴη δίκαιον λέγεσθαι· ἔπειτα ὑπὸ Θεοῦ (ὑπὸ τίνος γὰρ ἄλλου;) ὡρισμένον, πῶς οὐκ ἂν εἴη ἀγαθόν;

§. 292. Ἆρα τῶν ὧν οὐκ ἄνευ ἐστὶ πρὸ πάντων ἔχειν τὴν ψυχὴν ἀγαθόν τι οἰκεῖον, πρὸς ὃ κατεπειγομένη ἀνακύψαι τῆς ἀδιαφορίας ἀναγκασθήσεται, νῦν μὲν ὑφ' ἡδονῆς, νῦν δ' ἐναλλὰξ ὑπὸ λύ-

πης διϋπνιζομένη. Ἀλλὰ τί χρὴ καὶ δεικνύειν ἐπιχειρεῖν, ὅτι ἔχει τι ἀγαθὸν οἰκεῖον, ὥσπερ ἔχει καὶ φύσιν τινὰ ἰδίαν, ἣ ὀρθῶς καὶ ἀκωλύτως προϊοῦσα, αὐτὸ τὸ οἰκεῖον ἀγαθὸν συνίστησι, καὶ τὴν ἣν ἐνδέχεται τελειοποίησιν; Εἰ γὰρ ἐν τῷ σύμπαντι οὐδέν ἐστι καὶ αὐτῶν τῶν ἐλαχίστων δοκούντων κτισμάτων, ὃ μὴ φύσει τὸν πεπρωμένον αὐτῷ νόμον ἐκπληροίη, συντελοῦν πρὸς τὰς ἀπειροσόφους βουλὰς τῆς Θείας Προνοίας, πῶς ἡ ἀνθρωπίνη ψυχή, τὸ κάλλιστον καὶ χαριέστατον τῶν τοῦ Θεοῦ ποιημάτων, ἔσται ἁπλῶς οὕτω παρεῤῥιμμένη ἐπὶ τῆς γῆς μηδένα προορισμὸν ἔχουσα καὶ πρὸς μηδὲν τέλος κατευθυνομένη; Τοὐναντίον γεμὴν, ὥσπερ ἔχει τὴν πρωτεύουσαν τάξιν ἐν ἅπασι τοῖς δημιουργήμασιν, οὕτως ἐνταῦθα γοῦν καὶ τὸν πρώτιστον ἕξει καὶ ὕψιστον προορισμόν. Ἀπ᾿ ἀρχῆς γὰρ μέχρι τέλους ἐν τῷ δε τῷ βίῳ, (ὁ δὲ μετέπειτα ὡς πρὸς τοῦτο πολλῷ μᾶλλον ἔσται τοιοῦτος·) τίς οὐχ ὁρᾷ ὡς ἐν πάσαις ταῖς τοῦ βίου περιστάσεσιν ὑπογέγραπται αὐτῇ πορεία τις, ὅπου εὐθυποροῦσαν μὲν ἐμμένειν ἀναγκάζει τὰ πάντα· παρεγκλίνουσαν δὲ ἀνακαλεῖται καὶ ἐπανάγει;

§. 293. Εἰ γάρ που καὶ ἀμφισβητοίη τις περὶ τῆς φύσεως καὶ οὐσίας τοῦ ἀγαθοῦ, ὃ περαίνειν ἐπὶ τῆς γῆς ὁ ἄνθρωπος ὥρισται, οὐδεὶς ὅμως ἐδόξασε πώποτε, ὅτι εἰκῇ καὶ ἄνευ τινὸς τέλους δεδημιούργηται, ἢ ἕνεκα τέλους κακοῦ τινος· τὸ γὰρ ἄτοπον καὶ τὸ κακὸν οὐδενὶ μὲν ἔνεστι τῶν κτισμάτων· ἥκιστα δὲ πάντων τῇ τοῦ ἀνθρώπου φύσει. Καὶ σύμπασα δὲ ἡ Φιλοσοφία καὶ ἡ Ἱστορία ταῦτα μαρτύρεται περὶ τοῦ ἀνθρωπίνου τέλους, ὅτι ἀγαθὸν μέν ἐστιν, ἀμφισβητούμενον δὲ μόνον, οἷόν ἐστι τῇ οὐσίᾳ. Καί γε εἰκότως· οὐ γὰρ δήπου ἁπλοῦν τι ὁ ἄνθρωπος καὶ ἐλαχίστης μεταβολῆς καὶ ποικιλίας ἐπιδεκτικὸν, ὥστε οἷόν τε εἶναι ἅμα τὰς ὄψεις ἐπιβαλεῖν αὐτῷ καὶ κατανοῆσαι τὴν ἐνδόμυχον φύσιν διὰ πάσης τῆς ἀκριβείας· πολλοῦ γε καὶ δεῖ· ἕως δὲ λανθάνει ἡμᾶς, *τί ἐστιν* ἄνθρωπος, ἀδύνατον μαντεύσασθαι *οἷός τις ὀφείλει εἶναι*, τουτ. πρὸς τί κατατείνει τέλος. Μάρτυρας δὲ τῆς τοῦ πράγματος δυσχερείας παρέχομαι τὸ πολυσχιδὲς τῶν τε φιλοσοφικῶν καὶ θρησκευτικῶν αἱρέσεων· οὔτε γὰρ ὁ ὀρθὸς καὶ φιλόσοφος λόγος, οὔτε

SISMANOGLIO MEGARO



ἡ θρησκευτικὴ ὁρμὴ καὶ πίστις ἠδυνήθησαν ὁμοφώνως λῦσαι τὸ πρόβλημα τὸ, *περὶ τοῦ τί ἀγαθὸν τῷ ἀνθρώπῳ*· ἄλλος δ᾿ ἄλλο περὶ τούτου δογματίζει καὶ λύσιν διάφορον δέχεται. Ἀλλὰ καὶ ἐκ τῆς διαφωνίας ταύτης ἐκεῖνο ἀναμφιλέκτως συνάγομεν, ὅτι ἔχει τι ἴδιον ἀγαθὸν ἡ ψυχὴ, ὥσπερ καὶ ἕκαστον τῶν ἄλλων ὄντων. Εἰ δὲ πέφυκεν ἅμα καὶ ἐννοεῖν αὐτὸ καὶ φιλεῖν, ἕξει δήπου τὰ συνιστῶντα τὴν πηγὴν τῆς ἡδονῆς καὶ τῆς λύπης, εἴγε μόνον ὑπάρξειεν αἱ πρὸς τοῦτο ἀφορμαὶ, ἢ τὰ κινοῦντα τὴν πάθησιν· τότε γὰρ ἐνεργείᾳ ἐκ τοῦ παθητικοῦ μυρία ἀναβρύσει παθήματα, ὅσα δυνάμει τέως ἐνυπελάνθανον. Ἀφέμενοι δὲ τῆς ὀντολογίας καὶ τῶν συλλογισμῶν, δείξωμεν τὸ δεύτερον τοῦτο ψυχολογικώτερον καὶ διὰ τῆς ἐνδομύχου πείρας, ὅτι φύσει ὁ ἄνθρωπος διὰ τῶν ἐν αὐτῷ δυνάμεων καὶ δεξιοτήτων ἔχει τὴν ἔννοιαν καὶ τὴν ἔφεσιν τοῦ *οἰκείου ἀγαθοῦ*, τοῦ παρὰ πᾶσιν ὁμολογουμένου, ὡς προαποδέδεικται.

§. 294. Ἔστι δὲ τὸ δεύτερον ζήτημα τόδε, εἰ ἡ ψυχὴ φέρει ἐν ἑαυτῇ ὁπωςδήποτε τὴν ἔννοιαν καὶ τὸν ἔρωτα τοῦ οἰκείου ἀγαθοῦ. Ἀλλὰ πρῶτον οὐκ ἂν εἶχε τὸν ἔρωτα, εἰμὴ εἶχε τὴν νόησιν· μᾶλλον δὲ εἰπεῖν τὴν συναίσθησιν, τρόπον, ὡς προείρηται, τῆς νοήσεως ἀχώριστον οὖσαν, δι᾿ ἧς εἰς ἑαυτὴν ἐπιστρέφουσα, τῶν ἔνδον ἐπιδράσσεται γινομένων. Τὸ δὲ πάθος, καὶ καθ᾿ ἑαυτὸ θεωρούμενον καὶ ἐν τοῖς διαφόροις αὐτοῦ τρόποις εἰδοποιούμενον, προαπαιτεῖ τὴν νόησιν στρεφομένην αὐθορμήτως ἢ μετὰ σκέψεως πρὸς τὸ ἀγαθὸν, καὶ κρίνουσαν περὶ τῆς ποιότητος αὐτοῦ· ἄλλως γὰρ ὅπου γνῶσις οὐ πάρεστιν, ἐκεῖ οὐδ᾿ ἔρως ὑπάρχει. Διὰ τοῦτο καὶ ὅσῳ μᾶλλον τυφλώττει καὶ ἀναισθητεῖ ἡ ψυχὴ περὶ τὰ καθ᾿ ἑαυτὴν, τοσούτῳ ἀδιαφορώτερον καὶ ἀπαθέστερον διάκειται.

§. 295. Ἕκαςος δ᾿ ὁμολογήσει ἐκεῖνο, ὅτι καὶ ἀγνοοῦσα ἡ ψυχὴ, ἢ μᾶλλον ἀμυδρῶς γινώσκουσα τὴν οἰκείαν φύσιν καὶ τὸν σύμφωνον αὐτῇ προορισμὸν, καὶ οὕτως αὖ φέρεται ὑφ᾿ ὁρμῆς τινὸς ἀκατανοήτου πρὸς τὴν πλήρωσιν τοῦ οἰκείου ἔργου, ὥσπερ καὶ πάντα τὰ ὄντα, καὶ αὐτὰ τὰ πάσης οἱασοῦν νοήσεως ἀμοιροῦντα, ὑπείκει καὶ οἱονεὶ πειθαρχεῖ τῷ νόμῳ τῆς Θείας Προνοίας, ὠθοῦντι ἕκαστον

πρὸς τὸ οἰκεῖον τέλος. Καί τοι ἡ ἀφωταγώγητος αὕτη ῥοπή, ἡ λάθρα παρορμῶσα καὶ ἐν ἀγνοίᾳ καταναγκάζουσα, οὐκ ἔστιν ὁ αὐτόχρημα ἔρως ὁ ἀναφαινόμενος ἐκ τοῦ συναισθήματος· πῶς γὰρ ἂν εἴη τοῦτο; κίνησις γὰρ μᾶλλον αὕτη, ἕλξις τε δηλονότι καὶ ὦσις, ἀλλ' οὐκ ἔρως καὶ προσπάθεια· τότε δὲ μόνον ἡ κίνησις μεταβάλλει εἰς ἔρωτα, ὅταν καταυγάζηται ὑπὸ τῆς νοήσεως. Ἀλλαμὴν ἡ ψυχὴ εὐμοιρεῖ νοήσεως, καὶ νοήσεως ὑποχαραττούσης αὐτῇ τὸ οἰκεῖον ἀγαθόν· ἱκανὸν δὲ μαρτύριον τοῦ λόγου πρὸς τὸ παρὸν ἔσται τόδε. κἂν γάρ τις παχυλώτατος ᾖ τὴν διάνοιαν καὶ τὰ μάλιστα ἀπεκτηνωμένος, καὶ πάσης διαφθορᾶς ἀνάπλεως, φέρει ἀεὶ ὅμως ἐν ἑαυτῷ ἔννοιάν τινα τοῦ οἰκείου ἀγαθοῦ, ἀμυδρὰν ἴσως ἢ καὶ ψευδῆ καὶ νενοθευμένην. Αὕτη δὲ ἡ *συναίσθησις* τοῦ οἰκείου τέλους δευτέρα αἰτία ἀναπόφευκτός ἐστιν ἐγγυτέρα καὶ δραστικωτέρα παρὰ τὴν προειρημένην, τὴν ὕπαρξιν δηλαδὴ ἁπλῶς τοῦ *οἰκείου ἀγαθοῦ*, εἰς πρόεσιν καὶ προβολὴν τοῦ ἔρωτος, τουτέστι τῆς ἡδονῆς καὶ τῆς λύπης.

§. 296. Ἀλλ' οὐδ' αὕτη κυρίως εἰπεῖν ἐστιν ἡ ἀληθὴς καὶ ἄμεσος αἰτία τούτων τῶν παθημάτων· (α) ἡ γὰρ ἐνδόμυχος καὶ ἐγγυτάτη καὶ καθαυτὸ παραγωγὸς αἰτία, ἡ καὶ ὑπὸ τῆς ἀχωρίστου νοήσεως χαρακτηριζομένη, ἐστὶν ἡ θεόθεν προνοητικὴ φορὰ καὶ ὤθησις, ἣ φέρεσθαι ἀδιακόπως ποιεῖ τὴν ψυχὴν πρὸς τὸ οἰκεῖον ἀγαθόν, καὶ μετ' ἀνάγκης τινὸς προσηλοῖ αὐτὴν τούτῳ διὰ τῆς ἐνηδόνου ῥοπῆς καὶ προσπαθείας, καίπως ἐοικυῖα τῇ ἰδιότητι πάντων τῶν ὄντων, τῇ ἐκ φύσεως κατεπειγούσῃ αὐτὰ πρὸς ὃ τέλος δεδημιούργηται. Ἵνα δὲ σαφέστερον τὸ λεγόμενον γένηται, (αἰσθάνομαι γάρ τι ἐμαυτοῦ γλίσχρως τὸ πρᾶγμα ἐξηγησαμένου καὶ δεομένου εἰκόνος·) ἐρείσθω μοι κατά τι παραβαλεῖν τὸ θεοκίνητον τοῦτο τῆς ψυχῆς πρὸς τὴν ἕλξιν τὴν ὑπενεργοῦσαν ἐν

(α) Πρῶτον οὖν αἴτιόν ἐστι τὸ τὴν ψυχὴν ἔχειν τι οἰκεῖον ἀγαθόν, σύμφωνον δηλ. τῇ οἰκείᾳ φύσει· δεύτερον δὲ τὸ κατανοεῖν τὸ οἰκεῖον τέλος, καὶ μὴ τυφλῶς περαίνειν τὸν ἐγκεχαραγμένον αὐτῇ νόμον· τρίτον δὲ τὸ ὀρέγεσθαι τοῦ οἰκείου ἀγαθοῦ, καὶ οἷον θεόθεν ὑποκεντεῖσθαι πρὸς τὴν δίωξιν αὐτοῦ καὶ τὴν ἀκόρεστον ἔφεσιν.



τῷ λίθῳ καὶ στερεοῦσαν αὐτόν· πολλῷ δὲ μᾶλλον πρὸς τὴν ζωὴν τὴν κυκλοφοροῦσαν ἐν τῷ φυτῷ, καὶ ἀναφύεσθαι καὶ ἀναθάλλειν αὐτὸ ποιοῦσαν· μάλιστα δὲ πρὸς τὴν ἐνδόμυχον ὁρμὴν (α)

(α) Τὸ παρὰ τοῖς Γαλλ. instinct, ἑλληνικὴν ἀρχέγονον καταγωγὴν ἔχει ἐκ τοῦ Στίζω τὸ κεντῶ, ἐρεθίζω κτλ. ἀμέσως ὅμως γίνεται ἐκ τοῦ Λατ. instinctus, ὃ σημαίνει τὴν ἔνστιξιν, ὡς ἂν εἴποι τις, τουτ. τὴν ἔνδοθεν στίξιν καὶ ὑποκέντησιν καὶ ὑπόνυξιν ἢ παρόρμησιν. Ἕτεροι δὲ εἰς τὸ παθητ. ἐπίθετ. τὸ ἔνστικτον ἐξελληνίζουσιν, ὃ σημαίνοι ἂν τὸ καθ' ὁρμὴν ἐνέργημα μᾶλλον ἢ τὴν ὑποκεντοῦσαν καὶ παρορμῶσαν ἀόρατον αἰτίαν, αὐτὸ δηλ. τὸ παρορμῶν ἐν ἀγνοοῦσιν ἡμῖν. Λέγεται δὲ καὶ ὁρμὴ τὸ τοιοῦτον, ἐπί τε τῆς ἀποκρύφου αἰτίας, ἐπί τε τῶν προϊόντων εἰς μέσον ἀποτελεσμάτων ἢ ὁρμημάτων, ἃ καὶ ἐξ ὁρμῆς γίνεσθαι λέγεται. Ἐπεὶ δὲ ἡ ὁρμὴ αὕτη ἐν ἡμῖν φύεται, καὶ οὐκ ἔξωθεν ἐπερχομένη φαίνεται, λέγεται καὶ ἔμφυτος ὁρμή, ὃ καὶ παρά τισιν οὐκ οἶδ' ὅπως εἰς τὸ ὁρμέμφυτον συνετέθη, καὶ πολλή ἐστιν ἡ κατάχρησις παρὰ τοῖς κοινολεκτοῦσι τοῦ λεξιδίου τούτου. Ἀλλ' ἡμῖν προτιμητέα ἡ λέξις ὁρμὴ (ἐκ τοῦ ὁρμῶ=ἔρω κτλ.) ἐπὶ τῆς παρορμητικῆς αἰτίας τῶν ἁπανταχοῦ τῆς κτίσεως ἀκουσίων καὶ αὐτομάτων κινήσεων, τῶν τε διανοητικῶν καὶ τῶν φυσικῶν, ἀντιδιασταλμένως δηλ. πρὸς τὸ ἑκούσιον καὶ ἐν προνοίᾳ περαῖνον. Οὐκ ἀπόβλητος δὲ ἐπὶ τῆς σημασίας ταύτης οὐδ' ἡ ἀρχαία λέξις αὐτοματισμὸς (ἐκ τοῦ αὐτοματίζω, ὃ ἐκ τοῦ αὐτόματον·) ἐμφαίνουσα τὴν αὐτόθεν καὶ αὐτοφυῶς γινομένην κίνησιν, καὶ μὴ προμεμελετημένην· ἐξ οὗ καὶ ἐπίρρ. αὐτοματεὶ ἢ αὐτοματὶ ἀντὶ τοῦ καθ' ὁρμήν, κατ' αὐτοματισμόν, ἢ ὁρμηδὸν καὶ ὑπονυγδην· (par instinct=ἐξ ὑποκεντήσεως, καθ' ὑπόνυξιν.) Λέγομεν δὲ πολλάκις καὶ τὸ αὐθόρμητον, τὸ αὐτόματον κτλ., ἀλλὰ μᾶλλον ἐπὶ τῶν ἀποτελεσμάτων. (Ῥοπὴ δὲ εἴη ἂν μᾶλλον ἡ φύσει ἔμμονος διάθεσις καὶ κλίσις, ἡ ἔμφυτος ἕξις, ἡ μὴ ἐν στιγμῇ τινι μόνον ἀκαριαίᾳ προφαινομένη.) Ὁρμαὶ τοίνυν παρ' ἡμῖν πᾶσαι αἱ ἐνέργειαι καὶ φοραὶ καὶ κινήσεις αἱ ἀνεπίγνωστοι καὶ ἀπροβούλευτοι, ἐπί τε τῆς νοήσεως, ἐπί τε τῆς παθήσεως, (εἴτ' ἐν τῇ ψυχῇ πως περιεργομένων, εἴτε καὶ εἰς τὴν ὕλην καταφανέστερον ἐξεικονιζομένων·) ἐπί τε τῆς ζωῆς τῆς ζωϊκῆς τε καὶ τῆς φυτικῆς, ἐπί τε τῆς φυσικῆς κινήσεως, οἷον ἕλξεως, ὤσεως, συναφείας κτλ. Ὁμωνύμως δὲ ὁρμὴ λέγεται καὶ ἡ ὑπολανθάνουσα τούτοις μυστηριώδης καὶ ἄδηλος ἡμῖν αἰτία, ὥσπερ λέγομεν καὶ ἕλξιν τὴν ἑλκτικὴν δύναμιν, καὶ οὐ μόνον τὴν ἐντεῦθεν προκύπτουσαν κίνησιν κτλ.

Ἀλλὰ τίς ποτ' ἐστὶν ἡ κοινῇ ἐνυπολανθάνουσα πᾶσι τοῖς οὖσι, τοῖς τε φυσικοῖς καὶ τοῖς νεκροῖς αἰτία, καὶ ἐμψυχοῦσα καὶ ζωογονοῦσα καὶ παρορμῶσα αὐτὰ πρός τι τέλος; Ἡ πρωτίστη πάντων καὶ ἀναίτιος αἰτία· μέχρι γὰρ αὐτῆς ἀναδραμόντες στησόμεθα. Ὥσπερ δὲ ὁ αἰσθητὸς ἥλιος δύο τινὰ ἐπενεργεῖ εἰς τοὺς περὶ αὐτὸν πλανήτας, τὸν φωτισμὸν καὶ τὴν ἕλξιν, (εἰ μὴ ἑκάτερον τρόπος εἴη τῆς αὐτῆς ἐνεργείας)· καὶ ἅπαντα μὲν ἕλκεται ὑπ' αὐτοῦ καὶ φωτίζεται, ὀλίγα δ' αἰσθάνεται καὶ τὸ φῶς αὐτοῦ· οὕτω καὶ ὁ νοητὸς ἥλιος πᾶσι μὲν προχέει τὴν ἀγαθοποιὸν αὐτοῦ ἐπενέργειαν, καὶ πάντα ζωογονεῖ ἕλκων εἰς ἑαυτὸν ὡς τὸ ἀκρότατον ἀγαθόν, ὀλίγοις δὲ τισι

τὴν ἀνεπιγνώστως διεξάγουσαν τὸ ἄλογον ζῶον ἐν ταῖς ἐργασίαις αὐτοῦ· παρεμφερὲς γάρ ἐστι τούτοις ἅπασιν, ἀλλ' ἐν βαθμῷ τινι ὑψηλοτέρῳ. Καί συλλήβδην εἰπεῖν, τὸ ἄμεσον αἴτιον τοῦ πάθους οὐδὲν ἕτερόν ἐστιν, ἢ αὐτὴ ἡ ἕλξις καὶ ἡ ζωὴ καὶ ὁ αὐτοματισμός, ἐκ δυνάμεων παρὰ μὲν τοῖς πλείστοις οὐσῶν τυφλῶν καὶ ἀνελευθέρων παντάπασιν, ἐνιαχοῦ δ' ἀτελεστάτης μετεχουσῶν καὶ νοήσεως καὶ θελήσεως, εἰς δύναμιν ἀνυψωθέντα πολλῷ τελειοτέραν καὶ κρείττονα· ὅπου ἡ μὲν ὑλοπρεπὴς κίνησις ἀϋλωτέρα κατέστη, ἡ δ ἀναφυτικὴ ζωὴ ηὐμοίρησε συναισθήσεως, τὸ δ' ἄλογον ἢ ἡ ἀνόητος ὁρμὴ αὐτὸ τοῦτο *ἄνθρωπος* ἐγένετο, τουτέστιν ἀληθὴς *ἔρως*.

§. 297. Τοιοῦτος δ' ὢν ὁ ἔρως, εὐθὺς μὲν ἐξ ἀρχῆς τὴν καρδίαν κατακηλῶν διὰ τῆς ἡδονῆς οἷον προμυεῖ καὶ προδιατίθησιν ἀρκούντως εἰς τὸ ἀγαθόν· ἔπειτα δὲ τοῦ νοὸς κατηρτυμένου, καὶ τὴν ἐκ τούτου τελειοποίησιν καθορῶντος, οὐκ ἔτι διὰ τὸ ἡδὺ εἶναι τοῦτο διώξεται, ἀλλὰ μάλιστα διὰ τὸ τετάχθαι αὐτῷ ἱερώτατον καθῆκον. Ἔστιν ἄρα ἐξαίρετόν τι καὶ θεόσδοτον χρῆμα ὁ ἔρως, ὥσπερ καὶ τὸ τέλος ἢ τὸ ἀγαθόν, οὗ θεοφορήτως ὀρέγεται. Ἐὰν δέποτε στραφῇ καὶ ἐπὶ τὸ χεῖρον, πλανᾶται ὑπὸ τῆς διανοίας καὶ ὑπὸ τῆς βουλήσεως· ἀφ' ἑαυτοῦ δέ, ἄδολος καὶ ἀδιάφθορος μένων, πρὸς αὐτὸ τὸ ἀγαθὸν ὁρμῇ τινι φέρεται. Διὸ καὶ ὅταν αὐτῷ συμβῇ, ὥσπερ ποταμῷ τινι ἀνταρασσομένῳ, διαθολοῦσθαι καὶ παρεκτρέπεσθαι, δείκνυσιν αὖ τὴν κατὰ φύσιν φορὰν διά τινων ὁρμῶν καὶ ὑποστροφῶν, ἕως ἂν τὸν συνήθη ῥοῦν ἀναλάβῃ, οἷον αὐτῷ ὁ δάκτυλος τοῦ Θεοῦ ἐνεχάραξε. (α)

τελειοτέροις ἐπιλάμπων σαφέστερον, οὐ μόνον τὴν συναίσθησιν καὶ τὸν λόγον ἐμποιεῖ, (ὅρ. Σχ. § 100.) ἀλλὰ καὶ τὴν μετὰ τῆς συναισθήσεως ἕλξιν, ἢ τὸ πάθος καὶ τὸν ἔρωτα. Ἡ αὐτὴ οὖν ὁρμὴ ὕπεστι ταῖς ψυχαῖς ἡμῶν καὶ τῇ ὕλῃ· ἀλλὰ ταύτῃ μὲν ἀσυναίσθητος καὶ τυφλὴ ὑπενεργεῖ· παρ' ἡμῖν δὲ συναισθητὴ γενομένη, καὶ εἰς τὴν σκέψιν προβιβαζομένη, προσπελάζειν τῷ Θεῷ καὶ κατὰ προαίρεσιν ποιεῖ. Ἀλλὰ περὶ τῆς καθ' ὁρμὴν ἐνεργείας ὅρ. τὸ περὶ Βουλήσ. §. 314.

(α) Φύσει μὲν ὁ ἄνθρωπος ῥέπει πρὸς τὸ ἀγαθόν· τῇ δὲ ἀκροσφαλεῖ αὐτοῦ διανοίᾳ καὶ σκέψει χρώμενος, παραμορφάζει τὸ ὄντως ἀγαθόν, καὶ τότε ἔγκειται τῷ πονηρῷ. Καὶ συνήθως δὲ λέγομεν, ὅτι τὸ πάθος σκοτίζει τὸν νοῦν, καὶ διαστρέφει τὴν βούλησιν. Ἐνταῦθα δὲ τοὐναντίον φαίνεται δογματιζόμενον, ὅτι τὸ μὲν πάθος ἄλογον ὄν, τὸ δοκοῦν ἀεὶ ἀγαθὸν διώκει· ἡ δὲ βούλησίς ἐστιν ἡ τὸν νοῦν ῥᾳθύμως ἢ



§. 298. Καίτοι ὑπὸ τὸ ὄνομα τῆς *φιλαυτίας* διαβάλλουσι πολλάκις τὸν ἔρωτα· ἀλλὰ τί δήποτ' ἐστὶν ἐν τῷ ἀνθρώπῳ ὁ ἔρως ἢ ἡ πρὸς ἑαυτὸν φιλία, ὅταν ἀληθὴς καὶ ἀδιάφθορος ᾖ, καὶ μὴ περιγράφηται ψευδῶς καὶ παχυλῶς ἐν ὁρίοις διαστενοῖς; οὐδὲν ἕτερον, ἢ ἡ ῥοπὴ καὶ νεῦσις ἀεὶ ἐπὶ τὸ ἀγαθόν· ἡ γὰρ *αὐτότης*, ἣν οὕτω φιλεῖ τις, ἐστὶ τοιαύτη οἵαν δεῖ εἶναι ἢ δεῖν οἴεται εἶναι, ὡς πρὸς ὃ ἂν ἔχοι καλὸν καὶ μέγα καὶ γενναῖον καὶ ἁγνόν, τὸν οἰκεῖον πληροῦσα νόμον καὶ τὸν ἀληθῆ αὐτῆς προορισμόν· καὶ ὡς ἔπος εἰπεῖν, τὸ ἀγαθὸν οὕτω φιλεῖ τις καὶ θαυμάζει ὑπὸ τὸ εἶδος τῆς *αὐτότητος*, οἷον δηλαδὴ καθορᾷ ἐν τῇ ἰδίᾳ αὐτοῦ ὑποστάσει καὶ προσωπικῇ οὐσίᾳ. (α) Τὴν γὰρ διεφθαρμένην αὐτότητα καὶ οἷον πρὸς ἑαυτὴν ἀναξίως ἀντιμαχομένην καὶ ἀντιφάσκουσαν, αἶσχος φέρουσαν τῇ ἀνθρωπείῳ φύσει, καὶ οὐ τἀγαθόν, ἀλλὰ τὸ κακὸν οὖσαν, ταύτην οὐδεὶς φιλεῖ, ἀλλὰ βδελύσσεται, εἰμὴ ἐν ἀγνοίᾳ καθεύδοι καὶ πλάνῃ. Ὁ γὰρ ἐκ τῆς ἀληθοῦς φιλαυτίας (β) ὁρμώμενος ἔρως

ἐγρηγορότως διατιθεῖσα πρὸς τὴν τοῦ ἀγαθοῦ διατίμησιν. Ἀλλὰ καὶ τὸ πάθος ἅπαξ κακῶς ἐθισθὲν ἡδοναῖς χαμαιζήλοις, τήν τε βούλησιν νάρκῃ τινὶ συνέχει, τόν τε νοῦν ἀλλοῖα ἢ ἐστι τὰ πράγματα φαντάζεσθαι παραπείθει. Ὅρ. περὶ τούτου τὸ Συμπέρασμα τὸ ὑποσυναπτόμενον περὶ τῶν τριῶν δευτερευόντων τῆς ψυχῆς ἰδιοτήτων, κείμενον μετὰ τὴν περὶ τῆς ἐλευθερίας θεωρίαν.

(α) Τουτ. οὐχ ἁπλῶς τὸ ἀνθρωπικὸν ἀγαθόν, καὶ τὴν ἧς τελειότητος ὁ ἄνθρωπός ἐστιν ἐπιδεκτικὸς καὶ κατορθωτικός· ἀλλ' ἣν ἴδοι τις ἀτομικῶς ἐν ἑαυτῷ ἀνευρίσκει ἢ γοῦν φαντάζεται.

(β) Φίλαυτος εἴληπται μοι ἐπὶ καλοῦ· δηλοῖ γὰρ ἁπλῶς τὸν ἑαυτὸν φιλοῦντα, ὅπερ ἐστὶν ἀνεμέσητον· καλείσθω δὲ μᾶλλον περιφίλαυτος ἢ ὑπερφίλαυτος ἢ αὐτοφίλαυτος ὁ κοινότερον ἐγωϊστὴς (egoiste) ἐπὶ κακοῦ, ὅταν δηλ. τὸ φίλαυτον (amour propre) παρεκβαίνῃ τῶν δικαίων ὁρίων. Ὅρ. δὲ καὶ Ἀριστοτ. ἐν Ἠθ. Νικ. ὅπου χρῆται καὶ τῇ φράσει, ἡ πρὸς ἑαυτὸν φιλία· ὅρ. δὲ αὐτόθ. καὶ Βιβλ. θ'. κεφ. η'. «Ἀπορεῖται δὲ πότερον δεῖ φιλεῖν ἑαυτὸν μάλιστα ἢ ἄλλον τινά· ἐπιτιμῶσι γὰρ τοῖς ἑαυτοὺς μάλιστα ἀγαπῶσι, καὶ ὡς ἐν αἰσχρῷ φιλαύτους ἀποκαλοῦσι· δοκεῖ δὲ ὁ μὲν φαῦλος ἑαυτοῦ χάριν πάντα πράττειν . . . . ὁ δ' ἐπιεικὴς διὰ τὸ καλόν . . . . . Καὶ φιλητέον δὲ μάλιστα ἑαυτόν . . . . . . Εἰ δὲ λάβοιμεν τὸ φίλαυτον πῶς ἑκάτεροι λέγουσι, τάχ' ἂν γένοιτο δῆλον. Οἱ μὲν οὖν εἰς ὄνειδος ἄγοντες αὐτό, φιλαύτους καλοῦσι τοὺς ἑαυτοῖς ἀπονέμοντας τὸ πλεῖον ἐν χρήμασι καὶ τιμαῖς καὶ ἡδοναῖς ταῖς σωματικαῖς . . . . Εἰ γάρ τις ἀεὶ σπουδάζοι τὰ δίκαια πράττειν αὐτὸς μάλιστα πάντων, . . . . καὶ ὅλως ἀεὶ τὸ καλὸν ἑαυτῷ περιποιοῖτο, οὐδεὶς ἐρεῖ φίλαυτον τοῦτον οὐδὲ ψέξει. Δέ-

SISMANOGLIO

καὶ μὴ εἰς τὴν περιφιλαυτίαν ἐξοκέλλων, οὐ μόνον οὐκ ἀποδέχεται ἑαυτὸν οὕτω φαινόμενον μισητὸν, ἀλλὰ καὶ μισεῖ καὶ φρίττει. Τί γὰρ ἑαυτοὺς ἐξετάζοντες φιλητὸν ἀληθῶς ἀνακαλύπτομεν; ἤπου τὸ χαμερπὲς καὶ τὸ φαῦλον καὶ τὸ ἀλλότριον τῆς ἀνθρωπίνου φύσεως ἐν ἡμῖν ἀγαπήσομεν; Οὐδαμῶς, εἰμὴ διεφθαρμένην ἔχοντες τὴν συνείδησιν, τὴν κακίαν ἀρετὴν εἶναι νομίζοιμεν καὶ τὸ δοκοῦν οὕτως αὖθις ἀγαθὸν ἀσπαζοίμεθα.

§. 299. Ὅταν μὲν οὖν ὑγιῶς ἔχοντες ὁρῶμεν τὰ πράγματα, κατὰ τοῦτο μόνον φιλοῦμεν τὴν ἐνδόμυχον ἡμῶν φύσιν, καθ᾽ ὃ ἂν ᾖ ἀγαθὴ καὶ τελεία, καὶ τοσοῦτον ὅσον ἂν ᾖ παρ᾽ ἡμῖν ἀξία· ὅταν δὲ τοὐναντίον μωραίνωμεν, ὃ μὲν εἰκότως ἂν εἴημίσους ἄξιον, τοῦτο μὲν φιλοῦμεν· ὃ δὲ μέτριον ἐν ἡμῖν ἀγαθὸν, τοῦτο δ᾽ ἐκτό-

ξειε δ᾽ ἂν ὁ τοιοῦτος, (ὁ σπουδαῖος=ἐνάρετος) εἶναι μᾶλλον φίλαυτος· ἀπονέμει γὰρ ἑαυτῷ τὰ κάλλιστα καὶ μάλιστα ἀγαθά . . . . Οὕτω μὲν οὖν δεῖ φίλαυτον εἶναι. » Καὶ ἐν πολιτ. Βιβλ. Β. κεφ. β΄. 6. «Μὴ γὰρ οὐ μάτην τὴν πρὸς αὑτὸν ἔχῃ φιλίαν ἕκαστος· ἀλλ᾽ ἐστὶ τοῦτο φυσικόν· τὸ δὲ φίλαυτον εἶναι (κατὰ τὴν κοινοτέραν δηλ. ἐκδοχήν) ψέγεται δικαίως· οὐκ ἔστι δὲ τοῦτο φιλεῖν ἑαυτὸν (τουτ. φιλαυτεῖν, ὡς δεῖ.) . . . . » Οὕτω δὲ καὶ ὁ μέγας Εὐγέν. ἐν τῇ κατ᾽ αὐτὸν Μεταφυσ. Τμῆμ. Γ. §. ολε-Σελ. 263. « Ταύτῃ τοι καὶ τὸ κέντρον, ἐς ὃ ὡς ἀπὸ κύκλου τοῦ ὀρεκτικοῦ ἅπασαι ἡμῶν αἱ ὀρεκτικαὶ ἀνατάσεις, αὐτοὶ ἡμεῖς ὄντες ἐσμὲν, τουτέστιν ἡ ἡμῶν αὐτῶν σύστασίς τε καὶ σωτηρία. (πρόσθες δὲ, καὶ βελτίωσις.) . . . Αὕτη τοίνυν ὀρέξεων ἁπασῶν οἷον ἀρχὴ ἡ φιλαυτία. Ὀρθῶς δὲ κρίνουσι καὶ τὸν νοῦν εἰς τὸν Δημιουργὸν ἀνεπτερωμένοις, . . . τῶν ἀγαθῶν τὸ πρώτατον καὶ ἀκρότατον αὐτός ἐστιν ὁ Θεὸς, κέντρον ἄλλο τοῦτο ἐρώτων ὑπερφυῶν, πρὸς ὃ δὴ τὸ καθ᾽ ἡμᾶς αὐτοὺς, εἰς ὅπερ ἐκ φιλαυτίας, ὡς εἴρηται, φύσει φερόμεθα, διϊθύνεσθαι δίκαιον καὶ ἀνάγεσθαι· οὕπερ ἐὰν ἔκκεντρον γένηται τὸ ἐν ἡμῖν . . . . . »

Ἐξ ὧν δῆλον ὅτι ἔστι λαβεῖν τὴν φιλαυτίαν καὶ ἐπ᾽ ἀγαθοῦ, καὶ τότε ὡς πηγὴ θεωρηθήσεται πάσης ἀρετῆς· ὀρθῶς γὰρ φιλαυτοῦντες, ἢ ἑαυτοὺς ἀγαπῶντες, σπουδάζομεν περὶ τὰ καλὰ, τὰ αὔξοντα ἡμῶν τὴν ἀξίαν, τήν τε διανοητικὴν καὶ τὴν ἠθικὴν, καὶ τὴν φυσικὴν καὶ τὴν κοινωνικήν· ὥσπερ δὴ καὶ ἐκ τῆς περιφιλαυτίας ἀναφύεται πᾶν εἶδος κακίας, ὅταν θύωμεν πάντα φρεσὶν ἐλοῆσιν. Ἐπεὶ δ᾽ ἡ αὐτότης ἡμῶν τρεῖς ἱκανότητας ἔχει, τὸ νοεῖν, τὸ ἐρᾶν καὶ τὸ αὐτενεργεῖν, φιλοῦντες ἑαυτοὺς μετρίως μὲν, τῶν καλῶν τῆς σοφίας, ἢ τῆς ἡδονῆς, ἢ τῆς ἰσχύος ἀντιποιούμεθα· παρακαίρως δὲ, ματαιόσοφοι καὶ φιλήδονοι, καὶ φίλαρχοι ἀποβαίνομεν. Τούτοις δὲ προσθετέον καὶ τὰ ἀφορῶντα πρὸς τὸ σῶμα ἡμῶν, τὸ ἀχώριστον τῆς αὐτότητος δέμας, ἐξ οὗ φιλοσώματοι οὕτως εἰπεῖν καθιστάμεθα, σωφρονοῦντες ἢ καθηδυπαθοῦντες.

SISMANOGLIO



πως ἐξαίροντες εἰδωλολατροῦμεν καὶ ὑπεραγάμεθα. Ἐξ οὗ καί τινες ἰσοθέους τιμὰς ἀπένειμαν ἑαυτοῖς βωμοὺς ἱδρυσάμενοι ἐν τῷ τύφῳ καὶ τῇ ἀλαζονείᾳ αὐτῶν, ἀγενεῖς ὄντες καὶ οὐτιδανοὶ καὶ οἰκτείραντες ἂν ἑαυτοὺς, εἰ τὴν φυσῶσαν κενοδοξίαν καὶ ματαιότητα ἀκριβῶς διεώρων. Σωκράτης οὖν κατὰ τοῦτο χρησιμώτατον δίδαγμα τοῖς ἀνθρώποις παρέδωκεν, ὃς *γινώσκειν ἑαυτοὺς* νουθετῶν, ἅμα καὶ ὡς δεῖ *φιλαυτεῖν* ὑπέδειξεν. Ἀλλ᾽ ὁ χριστιανισμὸς καί τι πλέον ἐποίησε, διδάξας αὐτοὺς ἁγιώτερον τρόπον, καθ᾽ ὃν ἂν γινώσκοιεν ἑαυτοὺς καὶ ἀγαπῷεν. (α)

§. 300. Ἀλλ᾽ ἵνα ἐντελῶς καὶ ἐξηγησώμεθα καὶ δικαιολογήσωμεν τὸν ἔρωτα, ὀρθῶς νοούμενον, προσθῶμεν ἐκεῖνο, ὅτι τὸ πρὸς ὃ ἀναφέρεται ἀγαθὸν, τὸ ἐν τῇ ἀνθρωπίνῃ δηλ. ψυχῇ, ἔχεται πάντων τῶν εἰδῶν τοῦ ἀγαθοῦ, ὧν πλῆρές ἐστι τὸ σύμπαν· ἀμφότερα δὲ ταῦτα τὰ ἀγαθὰ, τὸ ἐν τῷ ἀνθρώπῳ καὶ τὸ ἐν τῇ φύσει, σύμφωνα καὶ ἀδελφὰ ὄντα ἀλλήλοις, πρὸς μίαν κοινὴν ἀρχὴν ἀναφέρεται, ἐξ ἧς καὶ ἀναβρύει, τὸ αὐτάγαθον, τὸ ἀκρότατον, λέγω, καὶ καθαυτὸ καὶ ἀπόλυτον ἀγαθόν· ὅς ἐστιν αὐτὸς ὁ νόμος τοῦ Θεοῦ, ἢ ἡ παντοκρατορικὴ αὐτοῦ βουλὴ ὡς πρὸς σύμπαντα τὰ ποιήματα. (β) Ὥστε φιλῶν ὁ ἄνθρωπος τὸ ἑαυτοῦ ἀγαθὸν, ὡς δεῖ, πάντα διὰ τοῦτο ἐνυπολανθανόντως διώκει τὰ ἀγαθὰ, καὶ αὐτοῦ ἔτι τοῦ ἀμιγοῦς καὶ καθαυτὸ καὶ ἰδεώδους ἀγαθοῦ ὀρέγεται, τοῦ

(α) Ὁ μὲν εἶπε· γνῶθι σαυτόν· ὁ δὲ, ἀγάπα τὸν πλησίον σου ὡς σεαυτὸν, ὃ ἐκφυσᾷ τὴν ἀλαζονείαν, καὶ εἰς τὴν ἀνεπίληπτον ἄγει φιλαυτίαν.

(β) Ὁ ἄνθρωπος πρώτιστα ἐπιθυμεῖ τῆς ἑαυτοῦ τελειότητος· ἀλλ᾽ ἐπειδὴ ἡ τελειοποίησις αὐτοῦ οὐκ ἔστιν ἄσχετος ἀπὸ τῆς τῶν ἄλλων δημιουργημάτων ἐνεργείας, ἀγαπᾷ καὶ ταῦτα καὶ διώκει, ὡς καθ᾽ ἑαυτὰ αὐτοτελῆ καὶ αὐτάρκη ὄντα, καὶ συντελοῦντά οἱ πρὸς τελειοποίησιν, (Ὅρ. Σχ. §. 208) Ἀλλὰ τὸ τέλειον καὶ τὸ ἀγαθὸν, πρὸς ὃ πέφυκεν ἕκαστον τῶν ποιημάτων, αὐτό ἐστιν ὃ ἠθουλήθη καὶ ὥρισεν ὁ ποιητής. Ὁ μὲν οὖν ἑαυτὸν φιλῶν, καὶ δι᾽ ἑαυτὸν τὰ λοιπὰ πάντα, ὅσα ἀληθῶς ἐστιν αὐτῷ ἀγαθὰ καὶ οὐ μολύνει τὴν ἀγαθότητα τῆς θεοειδοῦς αὐτοῦ φύσεως, τῷ θείῳ ὑπείκει βουλήματι τῷ καθιδρύσαντι πάντα ταῦτα τὰ ἐφετά. Ὁ δὲ τοὐναντίον ῥιζηδὸν ἐκκόψαι τὸν ἔμφυτον τῷ ἀνθρώπῳ ἔρωτα ἐπιβαλλόμενος, ἔργον ἀντίθεον πράττει καὶ ἀσεβὲς, καὶ ἀπάθειαν φυτικὴν καὶ οὐκ ἀνθρώπινον ὁ τοιοῦτος μεταδιώκει, ἐκπίπτων οὕτως ἐθελοκάκως ἀπὸ τοῦ ὕψους, εἰς ὃ κατέστησεν αὐτὸν ὁ Θεός.

ἀντανακλωμένου ἐπὶ πάντα τὰ ὄντα. Ὁ γὰρ ἔρως, ὃν ἔχει ἑαυτοῦ, εὖ διεξαγόμενος στρέφεται πρὸς πᾶν ὅ,τι ἀγαθὸν, καὶ ἄνεισιν εὐσεβῶς μέχρις εἰς οὐρανὸν, τὴν ἕδραν καὶ τὴν πηγὴν τῆς *αὐτοαγαθότητος*. Τοῦτο μὲν δὴ γίνεται καὶ ὅταν ὁ ἄνθρωπος ζῶν ἁπλοϊκώτερον ἤδη πρῶτον ἄρχηται προαισθάνεσθαι καὶ ἀμυδρότερον κατανοεῖν, ἣν ἔχει τὸ ἀγαθὸν αὐτοῦ μεγίστην συνάφειαν πρὸς πάντα τὰ ἀγαθά. Ἀλλ᾽ ὅταν τελειότερον δεδιδαγμένος, εἴτε ἐκ τῶν εὐθέων ὁρμῶν τοῦ πάθους, εἴτε ἐκ τῶν φωταγωγῶν νοημάτων τοῦ λόγου μαντεύηται ἢ κατανοῇ τὸ πᾶν, καὶ ἐκ τῆς ἐπὶ μήκιστον διηκούσης αὐτοῦ διανοίας σύμπασαν τὴν ἐνδεχομένην αὐτῷ ἀλήθειαν ἀθρόαν περιλαμβάνῃ, τότε δὴ τότε τὸν κατ᾽ ἀρχὰς ἐν ἀγνοίᾳ προσφερόμενον ἔρωτα πρὸς πᾶν ὅ,τι ἀγαθὸν, ἐν ἐπιγνώσει διαχέει κατ᾽ ἀξίαν πρὸς σύμπασαν τὴν κτίσιν, καὶ πρὸς αὐτὸν εὐσεβῶς ἀπευθύνει τὸν ποιητήν. Οὕτω δ᾽ ὁ ἔρως ἐπ᾽ ἄπειρον καὶ καθ᾽ ὅλου ἐκτείνεται, ἀφορμώμενος μὲν ἐκ τῆς *αὐτότητος*, διερχόμενος δὲ τὴν *φύσιν*, καὶ τελευτῶν πρὸς τὸ ὕψιστον τέρμα, τὸν *Θεόν*.

§. 301. Ἀλλὰ τί ἐστι τὸ ἀγαθὸν τοῦτο, περὶ οὗ τοσοῦτος γίνεται ἡμῖν λόγος; τί ἐστιν ἐν τῷ ἀνθρώπῳ, τί ἐν τῇ φύσει, καὶ τί ἐν τῷ Θεῷ; (α) Δεχόμεθα μὲν οὖν τοῦτο, οὐχ ὁρίζομεν δὲ ὅ,τι ποτ᾽ ἐστίν· οὐ γὰρ ἀνάγκη πᾶσα ὁρίσαι αὐτὸ πρὸς παραδοχήν. Οἱ γὰρ πλεῖστα ἀμφισβητήσαντες περὶ τούτου θρησκευτικῶς καὶ φιλοσοφικῶς, οὐκ *εἰ ἔστιν* ἐζήτησαν, ἀλλ᾽ *ὅ,τι ποτ᾽ ἐστίν*· οὐδεὶς γὰρ ἀντιλέγει ὡς οὐκ ἔστιν· ἄλλως γὰρ ἀντιτάξει ὡς ἀρχὴν καὶ αἰτίαν τῶν πραγμάτων τὸ κακὸν καὶ τὸ ἄτοπον, ὅπερ οὐδεὶς νοῦς ὑγιαίνων τολμήσει ποτέ. Δικαίως οὖν τὸ ἀγαθὸν, οὗ ὁ ἐν ἡμῖν ἔρως ἐφίεται, ὁμολογούμενον εἶναι τιθέμεθα κατά γε τοῦτο καὶ ἀναντίλεκτον. Εἰ δέ τις καὶ οὕτως ἡμῖν ἐπικείμενος σφόδρα αἰτοῖτο ἐξειπεῖν, ὅ,τι φρονοῦμεν περὶ τοῦ ἀγαθοῦ, πρῶτον μὲν ἐννοησάτω, ὅσον μέγα καὶ δυσχερές ἐστι τὸ αἴτημα· ἔπειτα διελόντες αὐτὸ εἰς τρία μέρη, τάδε μόνον ἀορίστως πάνυ καὶ ἀκροθιγῶς ἂν ἀπαντήσαιμεν περὶ τοῦ ἐν τῇ φύσει ἀγαθοῦ. Εἰ κατὰ τὴν τάξιν τῆς θείας Προνοίας τὰ

(α) Τὸ περὶ τοῦ ἀγαθοῦ ζήτημα καὶ Ἀριστ. κινεῖ ἀλλαχοῦ τε καὶ ἐν τῇ ἀρχῇ τῶν ἠθικῶν αὐτοῦ πραγματειῶν.

SISMANOGLIO



ἀτελέστερα δεῖ κατὰ δύναμιν πλησιάζειν καὶ ἐξομοιοῦσθαι τοῖς τελειοτέροις, τοῦτ᾽ ἔσται τὸ ἐν τῇ φύσει ἀγαθὸν, ἵν᾽ ἕκαστον τῶν τριῶν μεγίστων γενῶν ἢ βασιλείων ἀνθρωποειδέστερον γίνηται, τουτ. κοινωνῇ τοῖς τοῦ ἀνθρώπου ἔργοις, ἀνάσσειν τεταγμένου ἐπὶ τῆς γῆς καὶ ἐπεξεργάζεσθαι ταῦτα καὶ τελειοποιεῖν, δοχεῖα ἢ ὄργανα τῶν ἄλλων αὐτοῦ λειτουργιῶν ἀποβαίνοντα. (α) Περὶ δὲ τοῦ τί ἐστιν αὐτῷ τῷ ἀνθρώπῳ τὸ ἀγαθὸν, εἴρηται ἐκ προθέσεως ἐν τῇ παρ᾽ ἡμῖν συνταχθείσῃ Ἠθικῇ πραγματείᾳ, ὅπου καὶ παραπέμπομεν τὸν βουλόμενον περὶ τούτου εἰδέναι. Περὶ δὲ τοῦ Θεοῦ τὸ ὃ δημιουργεῖ καὶ βούλεται ἀγαθὸν καὶ ἐνεργείᾳ δείκνυσιν ἐν τοῖς ποιήμασιν αὐτοῦ, οὐδὲν ἕτερόν ἐστιν ἀκραιφνέστατον καὶ μάλιστα καθ᾽ αὑτὸ λαμβανόμενον, ἢ αὐτὸ τοῦτο τὸ ὁρώμενον ἡμῖν ἀτελὲς καὶ πεπερασμένον ὑπὸ τὸ εἶδος τῆς ἀνθρωπότητος καὶ τῆς φύσεως. Τοσαῦτα οὖν στενολεσχοῦντες καί πως ὑπεκφεύγοντες, (ὁμολογητέον γὰρ τὴν ἀλήθειαν·) ἀπαντῶμεν πρὸς τὸ ζητούμενον. Ἀλλὰ πλατύτερον εἰπεῖν περὶ τούτου νῦν οὐ πρόκειται· ὃ δὲ ὀφείλομεν δεῖξαι ἐνταῦθα, ἐκεῖνο ἦν, ὅτι ὁ ἔρως ἐστὶ ῥοπή τις ἐν ἡμῖν ἀκαταμάχητος καὶ ἀνεπίσχετος πρὸς τὸ ἀγαθὸν, οὐ μόνον τὸ ἡμέτερον αὐτῶν, ἀλλὰ καὶ τὸ ἐν πᾶσι τοῖς ἄλλοις· πάντα γὰρ τὰ ἀγαθὰ ἀχώριστά ἐστι τοῦ ἐν ἡμῖν ἀγαθοῦ.

§. 302. Παραλείπομεν δ᾽ αὐτοῖς τοῖς ἀναγινώσκουσιν ἐξηγεῖσθαι τὰ πολλὰ καὶ μερικώτερα πάθη, ἃ δοκεῖ μὲν ἔξω μένειν τῆς καθόλου ταύτης ἐκθέσεως, περιλαμβάνεται ὅμως πάντα ῥᾳδίως ὑπὸ

(α) Ὅρ. Ἀριστοτ. Πολιτ. Βιβ. Α. κεφ. γ. « Ὥστε . . . . Εἰ οὖν ἡ φύσις μηδὲν μήτε ἀτελὲς ποιεῖ μήτε μάτην, ἀναγκαῖον τῶν ἀνθρώπων ἕνεκεν αὐτὰ πάντα πεποιηκέναι τὴν φύσιν. » Πάντα χρήσιμα τῷ ἀνθρώπῳ, αὐτά τε ἀνυψούμενα διὰ τὸ κοινωνεῖν τῆς τούτου νοερωτέρας ἐργασίας, αὐτῷ τε βοηθοῦντα τὰ μέγιστα πρὸς ἀνάπτυξιν. Τὸ ἡμέτερον σῶμα ὕλη αὐτόχρημά ἐστιν· ἀλλ᾽ ἠξίωται γενέσθαι τὸ ἱερὸν σκήνωμα τῆς ἀθανάτου ψυχῆς· τὰ ζῶα, τὰ φυτὰ πρὸς ὅσα ἡμῖν οὐ συμβάλλεται, αὐτοὶ οἱ πλίνθοι, καὶ ὁ πηλὸς, καὶ ἡ κονία καὶ τὰ ὅμοια, εἰς Ναὸν τοῦ Ὑψίστου συναρμολογοῦνται· οὐχ ὅτι τῷ ἀνθρώπῳ συντελοῦντα πρὸς τοῦτο, ἀλλὰ καὶ αὐτὰ τοῦ θείου ἔρωτος εἰκὼν γίνεσθαι ἀξιούμενα. Οὕτω καὶ Τέμενός τι παμμέγεθες σύμβολον ἑσμὶ πρόκειται μεγάλης ἐννοίας ἔθνους τινός. Καὶ κῆπος δὲ καλλιεργούμενος ἐνέργειάν τινα νοερὰν ἐναποστίλβει κτλ. κτλ.

τὴν καθ' ἡμᾶς θεωρίαν. (α) Ἡμεῖς δ' αἱρετώτερον εἶναι νομίζομεν, ὀλίγα τινὰ προσθέντας ἔτι, πέρας δοῦναι τῷ προκειμένῳ δόγματι.

§. 303. Ἡ ἀνθρώπινος ψυχὴ ἔχουσα τὸν ἔρωτα, ἐρᾷ τοῦ οἰκείου ἀγαθοῦ, ταυτὸν εἰπεῖν συμπασῶν τῶν ἐν αὐτῇ δυνάμεων ὀρθῶς καὶ κατὰ λόγον ἐξελισσομένων, ἢ τοῦ ἐν αὐτῇ ἐνεργητικοῦ ὁμαλῶς τελειοποιουμένου, ἢ ἔτι τῆς ἐν αὐτῇ ἰσχύος καὶ αὐξήσεως, τῆς πλήρους δηλαδὴ καὶ ἀληθοῦς ζωῆς. Ἐπεὶ δ' ἐν σχέσει οὖσα πολλῶν ἑτέρων ἐν τῇ φύσει δυνάμεων, κωλύοιτ' ἂν ἐφικέσθαι τῆς τοιαύτης ζωῆς *ἐλευθέρως*, ἀταράχως καὶ *διαφερόντως*, διὰ τοῦτο σὺν τῷ ἔρωτι τοῦ οἰκείου ἀγαθοῦ (ἢ τῇ φιλαυτίᾳ) ἔχει καὶ τὸν ἔρωτα πρῶτον μὲν τριῶν ἑτέρων μάλιστα συμβαλλομένων πρὸς τὸ ἐφικέσθαι τοῦ οἰκείου τέλους, λέγω δὲ τῆς *ἐλευθερίας*, τῆς *εἰρήνης* καὶ τῆς *ὑπεροχῆς*, (ταὐτὸν εἰπεῖν, τὸ φιλελεύθερον ἢ ἀδούλωτον, τὸ φιλήσυχον ἢ εἰρηνικὸν, καὶ τὸ φίλαρχον ἢ ὑπεροχικόν·) ἔπειτα δὲ καὶ πάντων ἁπλῶς τῶν πρὸς ταῦτα συντεινόντων. Οὕτω δ' ἐξηγούμεθα τὰς παντοίας ὁρμὰς καὶ ὀρέξεις καὶ ἐπιθυμίας, τὸ φιλόζωον, τὸ φιλήδονον, τὸ φιλοχρήματον· ἔτι δὲ τὸ φιλάνθρωπον καὶ φιλόφιλον, τὸ φιλότιμον καὶ τὸ φιλόδοξον κτλ. Πάντα γὰρ ταῦτα πολλὰ μὲν καὶ ποικίλα ἐστὶν ὡς πρὸς ἃ ἀναφέρεται, οὐδὲν ἕτερον ὅμως ἐστὶν ἢ τρόποι καὶ μορφαὶ καὶ περιστάσεις τῆς *φιλελευθερίας*, τῆς *φιλησυχίας* καὶ τῆς *φιλοπρωτίας*, δι' αὐτὸ μάλιστα τὸ ἀγαθὸν, πρὸς ὃ πάντ' ἀφορᾷ ὁμοῦ καὶ κατατείνει. (β)

§. 304. Οὕτω δ' ὁ ἐν γένει ἔρως εἰδοποιεῖται εἰς ποικιλοτρόπους ἔρωτας, πάντας πρὸς τὸ ἀγαθὸν ἐκ συμφώνου ἐπειγομένους,

(α) Οὕτως ὁ σαρκικὸς ἔρως καὶ ἡ περιφιλαυτία (ἢ ὁ ἐγωϊσμός·) δοκοῦσι μὲν οὐ πρὸς τὸ ἀγαθὸν στρέφεσθαι, εἰσὶν ὅμως καὶ οὗτοι ἔρωτες, ὡς εἴδη μὲν καὶ τρόποι ὄντες τοῦ καθόλου ἔρωτος, ἢ τῆς περιπαθοῦς διώξεως τοῦ ἀγαθοῦ, ἀλλὰ περιοριζόμενοι ἐν ἀγαθῷ τινι οὕτως ἐλλιπεῖ καὶ ἠκρωτηριασμένῳ πολλάκις, ὥστε εἰς αὐτὸ τὸ κακὸν διαστρέφεσθαι, τουτέστι τὴν ἔλλειψιν καὶ ἄρνησιν τοῦ ἀγαθοῦ, ὃ τοῦ κακοῦ οὐδὲν διαφέρει.

(β) Ὁ ἐν ἡμῖν ἔρως ἀναφέρεται οὐ μόνον πρὸς τὰς ὑφεστώσας ἐκτὸς αἰτίας, ἀλλὰ καὶ τὰς διαφόρους καταστάσεις τὰς συντελούσας εἰς πρόοδον τῇ ψυχῇ. Ὃ δ' ἡμῖν περὶ τούτου ἐλλιπέστερον ἀποδέδοται κατ' ἀρχάς, ἐνταῦθα ἐν παρόδῳ ἱκανῶς ἀναπεπλήρωται. Ὅρ. καὶ §. 209.

SISMANOGLIO



καὶ ὑπὸ μίαν τῶν τριῶν *περιστάσεων* ἢ *διαθέσεων* φυσικῶς τε καὶ ἠθικῶς ἀναφερομένους, τὸ *ἀνεξάρτητον*, τὸ *ἀτάραχον* καὶ τὸ *ὑπεροχικόν*. Ἐφικνουμένη μὲν οὖν ἡ ψυχή τινος τούτων τῶν καταστάσεων, ἃς ἐρῶσα διώκει, χαίρει καὶ προσφύεται καὶ πάντα ποιεῖ, ἵνα μηδὲν τούτων τῶν κατὰ μέρος ἀγαθῶν ἀποβάλῃ. Ἀντιπεριϊσταμένη δὲ εἰς τοὐναντίον, ἀλγεῖ καὶ δυσχεραίνει καὶ φεύγειν πειρᾶται ὡς ποῤῥωτάτω. Ἐντεῦθεν ἄρα πάντα τὰ μυριοτρόπως ἐπαλλάσσοντα πάθη, ὅσα διεγείρουσιν ἐν αὐτῇ αἱ διάφοροι περιστάσεις, ἐν αἷς ζῶσα καὶ ἐνεργοῦσα τυγχάνει.

§. 305. Ἀλλ' αἱ περιστάσεις αὗται εἰσιν ἀποτελέσματα προϊόντα ἐξ αἰτιῶν· ὁ γοῦν ἔρως μεταφερόμενος ἐπὶ τὰς αἰτίας ἐν κινήσεσιν ἑλκτικαῖς ἢ ἀπωστικαῖς, δίδωσι πάντα τὰ παθήματα, τά τε φυσικὰ καὶ τὰ ἠθικὰ καὶ τὰ θρησκευτικά· ὥστε κατ' ἀρχὰς καθαρὸς ὢν ἔρως καὶ διώκων τὸ ἀδούλωτον, τὸ ἀτάραχον καὶ τὸ πρωτεῖον, μετατρέπεται ἔπειτα εἰς ἔρωτα τῆς φύσεως, τῶν ὁμοίων ἡμῖν, καὶ τοῦ Θεοῦ, ὅταν τούτων ἕκαστον αἴτιον ἢ συναίτιον ἡμῖν τοῦ ἀγαθοῦ γίνηται· ἐὰν δὲ τοὐναντίον συναίτια ἡμῖν τοῦ κακοῦ ὦσι, διατίθεται ὡς ἑτέρως καὶ ἀποστρέφεται ταῦτα. Οὕτως οὖν ἐξηγούμεθα πάντα τὰ ἐνεργήματα τῆς παθητικῆς ἡμῶν δυνάμεως· ὁ γὰρ ἔσχατος λόγος καὶ ἡ πρωτίστη πηγὴ τούτων ἐστὶν ὁ ἔρως, ἢ ἡ φιλαυτία, ὀρθῶς μέν τοιγε νοουμένη, ἢ ὁ ἔρως τοῦ οἰκείου ἀγαθοῦ, ἢ ἁπλῶς ὁ ἔρως τοῦ ἀγαθοῦ.

Τοσαῦτα δὴ καὶ περὶ τοῦ πάθους, ἴσως οὐχ ὅσον ἔδει σαφῶς ἐκτεθειμένα διὰ τὴν τοῦ πράγματος δυσχέρειαν· ἀλλ' οἱ ἀναγνῶσται ἐπιεικέστερον περὶ ἡμᾶς διατιθέμενοι, ὀρθῶς πειράσονται κατακούειν τῶν λεγομένων, πᾶσαν ἐνδεχομένην παρεξήγησιν ἀποφεύγοντες. Μεταβῶμεν δὲ ἤδη ἐπὶ τὸ Βουλητικὸν, ἢ τὸ Αὐτεξούσιον, ἢ τὸ Ἐλεύθερον.

# ΚΕΦΑΛΑΙΟΝ Γ$^{ον}$.

## *Περὶ τῆς ἐλευθερίας, ἢ τῆς δυνάμεως τοῦ αὐτεξουσιάζειν (α), τοῦ βουλεύεσθαι, τοῦ βούλεσθαι καὶ τοῦ ἐπιτελεῖν.*

—

### 1$^{ον}$. *Περὶ τῆς ἐλευθερίας θεωρουμένης ψυχολογικῶς.*

§. 306. Α$^{ον}$. *Εἰ κυρίως δύναμίς ἐστιν ἡ ἐλευθερία.* — Μετὰ τὴν ἔρευναν τῆς νοήσεως καὶ τῆς παθήσεως, καιρὸς νῦν διαλαβεῖν καὶ περὶ τῆς ἐλευθερίας. Ἀλλ' ἄγε πρῶτον ἐκεῖνο σκεψώμεθα· ὅτι μὲν γὰρ ἡ ἐλευθερία ὑπάρχει, τοῦτο πάντως ἀναμφισβήτητον, ὡς ἐκ πλείστων ἔργων ἀριδήλως μαρτυρούμενον· ἴσως δ' οὐκ ἔστι δύ-

(α) Τὸ αὐτεξουσιάζειν ἀμέσως παρηγμένον ἐκ τοῦ αὐτεξούσιος, ἀποδίδωσι τὸ γαλλ. se posseder (=κατέχειν ἑαυτὸν, αὐτοκρατεῖν, ἄρχειν ἑαυτοῦ, κτλ.). Ἐπεὶ δὲ παρὰ τῷ Συγγραφεῖ ἡ ἐλευθερία εἰς τέσσαρα ἀναλύεται μόρια, ὧν πρώτιστον τῇ γενέσει ἡ αὐτεξουσιασίς ἐστι, (=possesion de soi =αὐτοκράτησις, ἐγκράτεια κτλ.) διὰ τοῦτο ἄμεινον ἡμῖν ἔδοξε τῷ νέῳ τούτῳ χρήσασθαι σχηματισμῷ, ἢ ἀρχαιοτέροις ἄλλοις ἀορισταίνουσιν· αὐτίκα γὰρ ἡ αὐτεξουσιότης δηλοῖ μᾶλλον τὴν κατάστασιν καὶ τὸ ἀποτέλεσμα, ἢ τὴν ἐνέργειαν καὶ ἀγωνίαν, δι' ἧς κάτοχος ἑαυτοῦ καθίσταταί τις· ὃ δὴ καὶ ἀντιστοιχεῖ οὐκέτι πρὸς τὸ possesion de soi, ἀλλὰ τὸ libre-arbitre ἢ franc.-arbitre (δηλ. κατὰ λέξιν, ἐλευθερόβουλον, ἐλευθερόγνωμον κτλ. ἃ κάλλιστα παρίστησι τὴν ἐνδόμυχον ἐν τῇ διανοίᾳ ἐλευθερίαν, τὴν ὅλως ἀπαραβίαστον ἐκ τῆς ἔξωθεν ἀνάγκης.) Ταύτην οὖν τὴν πρώτην ἐμφάνισιν ἢ δήλωσιν τῆς ἐλευθερίας οὕτως ἡρμηνεύσαμεν· τὴν δὲ δευτέραν ἐκαλέσαμεν βούλευσιν (deliberation=διάσκεψιν, διαστάθμησιν κτλ.), τὴν δὲ τρίτην, βούλησιν (volonté=ἀπόφασιν, κρίσιν, ἢ determination =διορισμὸν, πρoϊόντα ἐκ τῆς προεξετάσεως, τί τὸ πρακτέον ἐστί·) τὴν δὲ τετάρτην, ἐκτέλεσιν (ἢ τὸ ἐκτελεστικὸν, ἢ κυρίως δύναμιν=force· ἀλλὰ περὶ τούτου ὅρ. Σχ. §. 342.) Σημειωτέον δὲ ὅτι ἡ μὲν ἐλευθερία ἐστὶν ὁ γενικώτατος ὅρος ὁ περιλαμβάνων σύμπαντα, ἀλλὰ πολλαχοῦ καὶ αἱ λέξεις αὐτεξουσιότης, βούλησις καὶ εἴτι ἕτερον, συνωνύμως καθολικώτερον νοοῦνται, ὥστε ἦν ἂν ἐπιγράψαι τὸ προκείμενον κεφάλαιον περὶ βουλήσεως. Σημειωτέον δ' ἔτι ὡς παρὰ τοῖς πάλαι θυμὸς, θυμικὸν, τὸ δραστικὸν τοῦτο ἐσήμαινον τῆς ψυχῆς, ἄλλως τε καὶ εἴπερ ἡ βούλησις ὑπὸ πάθους ἰσχυροῦ τινος παροξύνετο· ἡ γὰρ βούλησις ἐλευθέρως μὲν δρᾷ, τούς γε μὴν λόγους καὶ τὰς ἀφορμὰς πρὸς τὴν δρᾶσιν ἐκ τοῦ πάθους ἀρύεται· διὸ καὶ πρὸς τὴν ὄρεξιν εὑρίσκεται πολλάκις συγκεχυμένη. ὅρ. Σχ. §. 245.

SISMANOGLIO

ναμίς τις ἰδία, ὥσπερ ἡ νόησις καὶ ἡ πάθησις, ὡς μὴ ἔχουσα ἰδιόν τι ὑποκείμενον, περὶ ὃ στρέφοιτο, οὐδὲ ἰδίας τινὰς ὑπαλλήλους ἐργασίας, δι' ὧν κατατείνοι πρὸς τὸ οἰκεῖον τέλος. Ἡ μὲν γὰρ νόησις ἀναφέρεται πρὸς τὸ *ἀληθὲς*, γινώσκουσα, μιμνησκομένη, καὶ ὡς δυνατὸν φανταζομένη αὐτό· ἡ δὲ πάθησις πρὸς τὸ *ἀγαθὸν* παρὸν ἢ ἀπὸν ἀποτείνεται, ἀνακινουμένη ὑπὸ χαρᾶς ἢ λύπης, ὑπὸ ἔρωτος ἢ μίσους, ὑπὸ ἐπιθυμίας ἢ ἀποστροφῆς. Πρὸς τί δ' ἕτερον παρὰ τὸ ἀληθὲς καὶ τὸ ἀγαθὸν στρέφεται ἡ πάθησις, καὶ τίνας ἑτέρας λειτουργίας παρὰ τὰς νοητικὰς καὶ παθητικὰς μεταχειρίζεται; Ὃ γὰρ βουλόμεθα, τὸ *ἀληθές* ἐστι καὶ τὸ *ἀγαθόν*, καὶ πρὸς ἑκάτερον αὐτὰς ταύτας τοῦ τε νοητικοῦ τὰς ἐργασίας περαίνομεν, τοῦ τε παθητικοῦ τὰς ὁρμὰς ὑφιστάμεθα.

§. 307. Ἀλλ' εἴποι τις ἂν ἴσως, ὅτι ἕτερόν τι βουλόμεθα παρὰ ταῦτα, οἷον τὸ *καλὸν*, τὸ *ὠφέλιμον*. Ἀλλὰ πρῶτον μὲν ἐννοητέον ὅτι τὸ μὲν ὠφέλιμον εἶδός τι ὑποβεβηκός ἐστιν αὐτοῦ τοῦ ἀγαθοῦ, ὅταν πρὸς τὴν φυσικὴν καὶ ὑλικὴν ἡμῶν τελειοποίησιν καὶ εὐδαιμονίαν ἀναφέρηται· τὸ δὲ καλὸν, αὐτὸ τοῦτο τὸ ἀγαθόν ἐστιν ἐν πᾶσι τοῖς αὐτοῦ εἴδεσιν, ἐξῃρμένον οὕτω καὶ διαπρέπον, ὥστε μὴ μόνον τὸν *ἔρωτα* ὑποκινεῖν, ἀλλὰ καὶ *θαυμασμοῦ* δοκεῖν ἄξιον. (α) Οὐκ ἔστιν ἄρα οὔτ' ἴδιόν τι ὑποκείμενον τῇ βουλήσει, οὔτ' ἰδία τις ἐργασία· τὰ γὰρ ποικίλα ἔργα τῆς ἐκφράσεως καὶ τῆς μετακινήσεως, οἷς χρῆται πολλάκις ἡ βούλησις, αὐτὰ τὰ ἔργα τῆς νοήσεώςτε καὶ τῆς παθήσεώς ἐστιν, ἐν σημείοις καὶ κινήμασιν αἰσθητοῖς ἐκδεδηλωμένα· ὃ γὰρ ἐν τῇ ψυχῇ, αὐτὸ τοῦτο καὶ ἐν τῷ σώματι βουλόμεθα· ὁ δ' ἔξω ἡμῖν βίος μεθερμήνευσίς τίς ἐστι διὰ τῶν ὀργάνων καὶ ἐξεικόνισις τῶν ἐντὸς διαθέσεων· *βουλόμενοι* οὖν τί ποιοῦμεν; τὰς ἐμφύτους ἡμῖν δυνάμεις καὶ δεξιότητας, καθ' ὁρμὴν

(α) Περὶ τούτων κατὰ πλάτος διείληπται ἐν τῇ Ἠθικῇ, ὅπου καὶ παραπέμπομεν. Ἀλλὰ καὶ ἐν τῷ περὶ παθήσεως εἴρηται ἡμῖν ἑκασταχοῦ τὰ δέοντα περὶ τοῦ διεγειρομένου θαυμασμοῦ ἐκ τοῦ διαφέροντος ἀγαθοῦ, ὅ ἐστι τοῦ καλοῦ καὶ ὡς πρὸς τὴν φύσιν, καὶ ὡς πρὸς τὸν ἄνθρωπον καὶ ὡς πρὸς τὸ κάλλιστον τῶν ὄντων. Καὶ ἄλλως δὲ εἰπεῖν, τὸ καλόν ἐστιν αὐτὸ τὸ ἀληθὲς τὸ ἐκγαντεῦον ἡμᾶς καὶ ἐξάλλους ποιοῦν, τὸ τὴν πάθησιν βαθύτερον ἀνακινοῦν καὶ ἀναμοχλεῦον, ἐξ οὗ καὶ ἡ νόησις ἐμψυχοῦται καὶ γόνιμος ἐξαισίων νοημάτων καθίσταται.

SISMANOGLIO



καὶ ἀμελῶς χωρούσας, μεταστρέφομεν αὐτοὶ πρός τι τέλος, μεταβάλλοντες οὕτω τὴν ἀκυβέρνητον καὶ ἑτεροδέσποτον ἢ ἑτεροκίνητον οὐσίαν εἰς αὐτοκυβέρνητον καὶ αὐτοδέσποτον ἢ αὐτοκίνητον. Ἡ δὲ τοιαύτη κατάστασις ἠθικὸν ἡμῖν χαρακτῆρα καὶ προσωπότητα περιποιεῖ, ὅταν τὸ κράτος ἀναλαβόντες τῶν ἐν ἡμῖν γινομένων, αὐτοὶ ἑαυτοὺς διεξάγωμεν. Οὐκ ἔστιν ἄρα δύναμις ἡ ἐλευθερία, καθ' ἣν σημασίαν λέγεται τοῦτο ἡ νόησις καὶ ἡ πάθησις· αὐτὴ δὲ μᾶλλόν ἐστιν ἡ ψυχὴ μεταβαίνουσα μετὰ τῶν ἐν ἑαυτῇ δυνάμεων ἐκ τῆς αὐτοματίας εἰς τὴν σκέψιν, ἢ ἐκ τῆς κατ' ἀνάγκην καὶ καθ' ὁρμὴν ἐνεργείας εἰς τὴν κατὰ βούλησιν. Ταύτην οὖν τὴν μερικὴν περίστασιν πρόκειται ἡμῖν ἤδη ἐξετάσαι, ἐν ᾗ φύσει οὖσα ἡ ψυχὴ ἐνεργητικὴ ἐν τῷ νοεῖν καὶ τῷ ἐρᾶν, οὐχ ἁπλῶς οὕτως ἐνεργεῖ, ἀλλ' αὐτὴ διεξάγει καὶ διακυβερνᾷ τὰ ἰδιανοήματα καὶ παθήματα.

§. 308. Βον. *Ὅτι ἡ ψυχὴ οὐκ ἔστιν ἀεὶ ἐλευθέρα, οἷον ἐν τῷ ὕπνῳ, ἐν τῇ λειποθυμίᾳ, ἐν τῇ μανίᾳ, ἐν τῇ μέθῃ, ἐν τῇ ὀνειρώξει, ἐν τῷ ἐνθουσιασμῷ κτλ.* — Ἀλλ' ἵνα κατανοήσωμεν ἄμεινον ὅπως ὁ ἄνθρωπος ἐλεύθερος ἀναφαίνεται, προεξεταστέον ἡμῖν περιστάσεις τινάς, ἐν αἷς οὐκ ἔστιν ἐλεύθερος. Πρῶτον μὲν οὖν οὐκ ἔστιν ἐν τῷ *βαθεῖ ὕπνῳ*· οἷον γὰρ ἐστέρηται τότε τῶν αἰσθήσεων· εἰδὲ καί τινας τυχὸν ἀντιλήψεις ἀμυδρὰς καὶ ἐπιπολαίους εἰσδέχοιτο, ἀνεπίσκεπτοι διαῤῥέουσιν αὐτῷ καὶ οἴχονται. Οὐ γὰρ δύναται ἐν τῷ ὕπνῳ στῆσαι τὴν διάνοιαν ἐπὶ τοῖς ἐν αὐτῷ γινομένοις μεθ' ὅσης ἀκολουθίας καὶ συντονίας ποιεῖ τοῦτο ἐν τῇ ἐγρηγόρσει, ὡς ἀμυδρῶς συναισθανόμενος ἑαυτῷ ὑπάρχοντι καί πως διατιθεμένῳ, καὶ ὡς βραχέ' ἄττα μνημονεύων καθ' ὁρμὴν καὶ φανταζόμενος ἄκων τὰ προστυχόντα· περαίνει δὲ οὐδεμίαν ἐργασίαν τῶν μετὰ τέχνης καὶ ἐπιπόνων· ἔστι γὰρ πνεῦμα μηδαμῶς ἑαυτοῦ ἄρχον μηδὲ κυριεῦον. Παθαίνεται δ' ὁμοίως ὥσπερ καὶ νοεῖ, ἀσθενῶς δηλαδὴ ὡς ἐπὶ τὸ πλεῖστον καὶ χαύνως, διὰ τὸ φύσει ἀνεπίμοχθον ἐν τῇ τοιαύτῃ καταστάσει· διεξάγει δὲ οὐδαμῶς τὰ αὐτοῦ παθήματα, φιλῶν ἢ μισῶν ἀλόγως καὶ ἐκ τύχης. Ἐν δὲ τῷ *ἐλαφρῷ ὕπνῳ* λεγομένῳ πάρεστί ποτε καὶ δείγματά τινα ἐλευθερίας· ὁ γὰρ οὕτω καθεύδων ἀναλαβεῖν ἐκ διαλειμμάτων πειρᾶται τὰς αἰσθήσεις καὶ συνελθεῖν

εἰς ἑαυτόν, ἀντιμαχόμενος πρὸς τὰς ἀνακολούθους καὶ ἀσαφεῖς ἀναμνήσεις, καὶ τὰς ἀλλοκότους φαντασίας καὶ τὰς ἀτάκτους παθήσεις. Ὅσῳ δὲ μᾶλλον ἐγγύς ἐστιν ἡ τῆς ἐγρηγόρσεως ἐπάνοδος, τοσούτῳ φανερωτέρα καθίσταται ἡ ἀγωνία τῆς ψυχῆς, ἀνακτήσασθαι τὴν πρόσθεν συναίσθησιν καὶ ἐλευθερίαν ἑαυτῆς πειρωμένης· ἀλλ' αὐτοματεῖ τὸ πλεῖστον τῆς κινήσεως κἀνταῦθα περαίνεται.

§. 309. *Λειποθυμία.*—Ἡ δὲ λειποθυμία καίπερ διάφορος οὖσα τοῦ ὕπνου ἐν ἄλλοις τισίν, ὅμως ὡς πρὸς τὸ προκείμενον λίαν παρεμφερής ἐστι τούτῳ· οὐδὲ γὰρ ἐν αὐτῇ ἡ ψυχή ἐστιν ἐλευθέρα· ἐνεργεῖ μὲν γάρ, ὅτι οὐδέποτε ἐνεργοῦσα διαλείπει· ἀλλὰ τοσαύτῃ περιπίπτει ἀδρανείᾳ, ἐλάχιστα ζῶσά τε καὶ αἰσθανομένη, ὥστε οὐ δύναται αὐτεξουσιάζειν· ἴσως δὲ μόνον ἀμυδράς τινας ἀντιλήψεις καὶ προσβολὰς δέχεται ἐκ τῶν περιστοιχούντων, μηδαμῶς ἀντενεργοῦσα ἐν *θυμῷ* καὶ συνειδήσει εἰς τὴν προσήκουσαν τούτων συναρμολόγησιν· ἐκτεταραγμένη γὰρ τρόπον τινὰ τὴν γνῶσιν ἀπέβαλε. Εἰ γὰρ καὶ τηρεῖ ἐν τῇ αὐτότητι τὸ ἀμυδρὸν τῆς νοήσεως φῶς, ἐξ οὗ ἐσαῦθις ἐκλάμψει ἡ ἐλευθερία, ἥττηται ὅμως τῶν ἔξωθεν προσβολῶν, καὶ τὴν ἧτταν ταύτην ὁμολογεῖ, αἰχμάλωτος οὖσα καὶ ἄφωνος, καὶ μόνον οὐκ ἀναισθητοῦσα πρὸς τὸ μέγεθος τῆς ἐπικειμένης αὐτῇ συμφορᾶς· ἀλλὰ τῷ χρόνῳ ἀπαλλαττομένη κατ' ὀλίγον τῶν δεσμῶν τῆς τοιαύτης δουλείας, καὶ ἀεὶ ἰσχυροτέρα ἀναδεικνυμένη, ἱκανὴ ἔσται συνεπιστραφῆναι καὶ συνελθεῖν εἰς ἑαυτήν, καὶ κάτοχος γενέσθαι τῆς ἐν αὐτῇ ἐνεργητικότητος.

§. 310. *Μανία.*—Ὁμολογουμένως δὲ καὶ ὁ μαινόμενος οὐχ οἷός τέ ἐστι κατ' οἰκείαν βούλησιν χρῆσθαι ταῖς ἐν αὐτῷ δυνάμεσιν. Ἔστι μὲν γὰρ πλήρης ζωῆς, κατ' ἄνθρωπον νοῶν τε καὶ παθαινόμενος, ἀλλ' οὐ δύναται ἑαυτὸν διεξάγειν καὶ διϊθύνειν, ὃ δὴ μάλιστα χαρακτηρίζει τὴν ἀνθρώπινον φύσιν· νοεῖ μὲν γὰρ ἢ διεσκεδασμένος καὶ ῥεμβόμενος ἔνθα κἀκεῖσε, μηδεμίαν ἀκολουθίαν τηρῶν ἐν τοῖς προσβάλλουσιν αὐτῷ πανταχόθεν, ἢ τοὐναντίον προσηλωμένος καὶ προσδεδεμένος ἑνὶ καὶ τῷ αὐτῷ πράγματι, οὔτε εἰς ἓν συναγαγέσθαι ἐκ τῶν πολλῶν, οὔτ' ἐκ τοῦ ἑνὸς ἀποσπασθῆναι εἰς ἕτερά τινα δυνάμενος, ὡς μηδαμῶς ὢν κύριος τῆς ἑαυτοῦ διανοίας.



Διὸ καὶ συνήθως λέγεται, ὅτι *ἀπώλεσε τὸ λογικόν*, ἅτε δὴ ἀφυῶς ἔχων πρὸς τὸ σκέπτεσθαι τὰ νοούμενα· οὕτω δὲ καθ' ὁρμὴν μόνον καὶ κατ' ἀνάγκην διανοούμενος, κατοπτεύει μὲν τὰ καθέκαστα, μιμνήσκεται δὲ τὰ παρερχόμενα, φαντάζεται δὲ τὰ ἀνυπόστατα, ἀλλ' εἰς οὐδὲν τούτων ὑπὸ τῆς φρονήσεως καὶ τοῦ ὀρθοῦ λόγου ἐλλάμπεται, τηνάλλως χωρῶν καὶ παραβόλως φερόμενος. Πεπλανημένος δ' ἐν οἷς νοεῖ περὶ τῶν ἀγαθῶν καὶ κακῶν, οὐχ ἧττον ἀτάκτως καὶ παθαίνεται διὰ τοῦτο, ὡς σφαλερῶς χαίρων καὶ λυπούμενος ἐφ' οἷς οὐ δέον ἐστί, διώκων μὲν τὰ φευκτέα, φεύγων δὲ τὰ διωκτέα. Ἕως μὲν οὖν νοσεῖ τὴν παραφροσύνην ταύτην, οὐδὲ τῆς ἠθικῆς ἀξιότητος εὐμοιρεῖ, ἀκατάκριτος νομιζόμενος καὶ ἀνυπεύθυνος, ὡς ἐστερημένος τῆς προσωπότητος· ὅταν δέ ποτ' ἐπανέλθῃ ἐκ τῆς οἰκτρᾶς ταύτης καταστάσεως εἰς τὴν ὑγιᾶ, κάτοχος γενόμενος τοῦ ἐν αὐτῷ νοός τε καὶ ἔρωτος, καὶ δυνάμενος ἡνιοχεῖν ἀμφότερα συμφώνως τῇ ἀληθείᾳ, τότε ἀναλαμβάνει καὶ τὴν προσωπότητα αὐτοῦ ὡς ἐλεύθερος.

§. 311. *Μέθη.* — Ἡ δὲ μέθη ὀλιγοχρόνιος μανία ἐστὶν εἰς ἣν φέρων τις ἑαυτὸν ἐμβάλλει ἑκουσίως καὶ ἐξ ἀκολασίας· ὡς μὲν οὖν πρὸς τὴν ἀρχήν, ὃς ἂν αὐτὸς ἑαυτῷ τὴν παραφροσύνην ἐπιβάλλῃ, ἀξιόμεμπτός ἐστι· μεθυσθεὶς δ' ἅπαξ, οὐδεμίαν παροινῶν αὐτεξουσιότητα σώζει ἐν οἷς νοεῖ καὶ παθαίνεται, τεθορυβημένος μὲν τὰς αἰσθήσεις, ἰλιγγιῶν δὲ τὸν ἐγκέφαλον, καὶ ὅλως παραφερόμενος ἐν ταῖς αὐτοῦ πράξεσι μέχρις οὗ ἀνανήψας ἐκ τῆς σκοτοδίνης ἀνακτήσηται τὴν ἐλευθερίαν, μεθ' ἧς ὁ λόγος καὶ ἡ φρόνησις ἀναλάμπει. Ἐν δὲ τῇ *ἀκρομέθῃ* (α) οὐ σφόδρα μέν τις παροινεῖ, ἄρχεται

(α) Ἀ κ ρ ο μ έ θ η (ἡ) ἢ Ἀκρομέθυ (τὸ) εἴη ἂν τὸ χυδαιοβάρβαρον μέν, ἀλλὰ σύστοιχον καὶ παρεμφερὲς ἤχῳ τε καὶ σημασίᾳ (τζακίρ-κεφί.) Σημαίνει δὲ κατὰ λέξιν· τὴν οὐ βαθεῖαν μέθην, ἀλλὰ τὴν ἐπιψαύδην ἀκροβολίζουσαν· ἢ τὸ ἄκρον τῆς μέθης, (ὡς καὶ Ἀ κ ρ ο ζ ώ ν η ἐστὶ τὸ ἄκρον τῆς ζώνης, καὶ οὐχὶ τὸ μέσον αὐτῆς.) Δικαιοῖ δὲ τὴν λέξιν καὶ τὸ ἰσοδύναμον Ἀ κ ρ ο θ ώ ρ α ξ, ὁ ἐξεπιπολῆς οἰνωμένος, ὁ ὀλίγον τι μεθύων, ὁ μὴ τὴν πανοπλίαν τῆς μέθης τεθωρηγμένος· καὶ γὰρ τὸ θ ω ρ ή σ σ ο μ α ι μεταφέρεται ἐπὶ τοῦ ο ἰ ν ο π ο τ ῶ καὶ μ ε θ ύ ω· ὥστε εἴη ἂν καὶ Ἀ κ ρ ο θ ώ ρ η ξ ι ν τοῦτ' ὀνομάζειν· ἡ γὰρ Θώρηξις λαμβάνεται ἐπὶ τῆς μεθύσεως. Ἀλλὰ καὶ ἡ γαλλικὴ μεταφορὰ ἐν τῷ κειμένῳ [illegible] τῇ τολ-

δ' ὅμως μετά τινος θυμηδίας ἀνίεσθαί πως εἰς τὴν φορὰν τῆς ἀναγκαιότητος, τῆς κατακυριευούσης τοῦ ἐνεργητικοῦ τῆς ψυχῆς, καὶ μικρὰν μόνον πρόσοδον εἰς αὐτὴν συγχωρούσης τῇ σκέψει καὶ τῷ ὀρθῷ λόγῳ.

§. 312. *Ὀνείρωξις.* — Ἡ δ' ὀνείρωξις χαυνότης ἐστὶ τῆς ψυχῆς, προερχομένη ἢ ἐξ ἑκουσίου ῥαθυμίας καὶ ἀκηδείας, ἢ ἐξ ὁρμῆς τινος καὶ ἀναρπαγῆς τερψιθύμου ἅμα καὶ ἰσχυρᾶς. Τάχιστα δ' οὕτω διατεθέντες, κατακυριευόμεθα ἀμυδρῶς ὑπό τινος ἀορίστου διανοήματος, καὶ ἀφρόντιδες καὶ ἀτάραχοι ὅλως μακρὸν διανύομεν χρόνον ἔν τινι θεωρίᾳ καὶ ὀνειροπολήσει ὀκνηρᾷ, καὶ πολλὴν ἐχούσῃ ῥᾳστώνην, καθ' ἣν ὁ βίος ἡμῖν ἠρέμα ῥέει καὶ ἀθορύβως, πρὸς οὐδένα μὲν ῥυθμιζόμενος κανόνα, ταῖς δὲ τυχαίως προσπιπτούσαις ἔνθεν κἀκεῖθεν προσβολαῖς συνεπόμενος. Ἀναλαβεῖν μὲν οὖν τὸ πρόσθεν αὐτοκρατορικὸν, ἴσως οὐχ οὕτω χαλεπὸν ἂν εἴη· ἀλλ' οὐ σύνισμεν ἑαυτοῖς τηλικοῦτον ἀτύχημα πάσχουσι· τοὐναντίον δὲ καὶ μακαρίζομεν ἑαυτοὺς ἐπὶ τῇ τοσαύτῃ ἀνέσει καὶ ἀπραγμοσύνῃ, ἣν ἀνταλλάξασθαι οὐκ ἄν ποτε βουλοίμεθα τῆς ἐλευθερίας καὶ ἐπιπόνου ἐργασίας. Εἰ μὲν οὖν διατελοίημεν μακρὸν χρόνον οὕτω κενεμβατοῦντες μέχρι καὶ καταχρήσεως, ἴσως ἂν ἡμῖν καὶ αὐτὴ διακινδυνεύσειεν ἡ προσωπότης, ὡς ἐν ἑαυτοῖς μονώτην βίον διάγουσι, καὶ εἰς τὰς ἰδίας ἡμῶν διανοήσεις καὶ παθήσεις ὅλως συνηθροισμένοις, ὥσπερ τὸ φυτὸν καθ' ἑαυτὸ ζῇ ἀκοινωνήτως πρὸς τὰ πέριξ φαινόμενα καὶ μόνον εἰς τὰς ἰδίας ἐνεργείας καὶ ἰδιότητας περιγεγραμμένον· οὕτω μὲν οὖν *φυτοζωοῦντες* ἂν πᾶσαν ἠθικὴν ἀπολέσαιμεν ἀξίαν, ἀλλ' ἀγαθῇ τύχῃ καὶ τὴν καθύπνωσιν ταύτην διαδέχεταί τις ἐγρήγορσις, τῶν λυπηρῶν ἡμῖν πανταχόθεν ἐπαγομένων, καὶ πᾶσαν τὴν ἀργίαν τῆς ψυχῆς ἐκκρουόντων, καὶ ἀνακαλούντων εἰς τὴν ἐλευθέραν ζωὴν, τὴν μετὰ σκέψεως καὶ πόνου περαινομένην.

§. 313. *Ἐνθουσιασμός.* — Καὶ ὁ ἐνθουσιασμὸς, ἀρχόμενος μάλιστα, οὐδὲν σώζει ἴχνος ἐλευθερίας. Ἡ γὰρ διάνοια, ἡ μέχρι

μηρᾷ ἴσως καινουργήσει τοῦ ὀνόματος. «Dans l' ivresse qui n' est qu' en pointe.» ἐτλ. ἄ κ ρ ο ν ἐ π ι λ ῆ ψ δ η ν, καθ' Ὅμηρον εἰπεῖν.



δεῦρο σωφρονοῦσα καὶ κατὰ μέτρον ἐργαζομένη, καὶ πάντ' ὀρθῶς ἐξετάζουσα τὰ προσπίπτοντα, καὶ ζῶσα ζωὴν τὴν συνήθη καὶ ἤρεμον, αἴφνης ἀψαμένη τοῦ ἐκγοητεύοντος καὶ κατακηλοῦντος αὐτὴν, ἀναρπάζεται ὡς ἐκ μαγείας τινὸς, καὶ ἐκβακχεύεται σφόδρα, ἐξεστηκυῖα καὶ μόνον οὐ παραφρονοῦσα· τότε δὴ χείμαῤῥος ἐννοιῶν πλημμυρεῖ εἰς αὐτὴν καὶ μεθ' ὁρμῆς εἰσπίπτει ἀνεπισχέτου, ὅσον ἀνέβρυσεν ἡ καλλονὴ ἡ εἰς βάθος αὐτὴν ἐμπλήξασα. Ἐξηλλοίωται οὖν, ὡς ἐκ τοῦ σώφρονος καὶ καθεστηκότος βίου προχεομένη εἰς νόησιν ἀναβλύζουσαν πανταχόθεν· ὁ γὰρ ἄνθρωπος τότε οὐκέτι ἐλευθέρως καὶ μετὰ σκέψεως βαίνει, ἀλλ' ἐπὶ τὸ ἁπλοϊκώτερον μετατρέπεται, καὶ εὐφυῶς εἰς τὴν ποίησιν ἐξ ὁρμῆς τινος καὶ ἐπιπνοίας ἀνίπταται, καὶ *σκεῦος ἐκλογῆς* ἀληθῶς ἀποβαίνει, ἔνθα Θεὸς οὐρανόθεν μεγάλας καὶ ἀξιοθαυμάστους ἐννοίας ἐν εἴδει καὶ μορφῇ καταπέμπει τοῦ κάλλους. Καὶ ἐν τῇ ἐμπνεούσει οὖν ἢ ἐκστάσει ταύτῃ ἡ ψυχὴ οὐκ αὐτεξουσίως νοεῖ, ἀλλὰ θεοφορήτως κινεῖται, ὅταν οἶστρος ἀγαθὸς εἰς τὰ κάλλιστα ἐξελαύνῃ.

§. 314. *Αὐτοματισμός.* — Παραλείπομεν δὲ τὰς μυστηριώδεις ὁρμὰς, τὰς ἐνυπολανθανούσας ἡμῖν καὶ προϊούσας αὐτοματεί, ὥσπερ καὶ ἐν τοῖς κτήνεσι καὶ ἐν αὐτοῖς σχεδὸν τοῖς φυτοῖς, ὧν τὴν αἰτίαν καὶ τὴν ἐργασίαν παντάπασιν ἀγνοοῦμεν· αὐτίκα γὰρ τί τὸ ἐνορμῶν τὸ βρέφος εἰς θηλασμόν; τί τὸ διατάσσον ἐν ἡμῖν ἐναλλὰξ τὸν ὕπνον καὶ τὴν ἐγρήγορσιν; τί τὸ ὑπενεργοῦν ἡμῖν τὴν μνήμην καὶ τὴν ἀνάκλησιν τῶν προνενοημένων; τί τὸ διορίζον τῷ διανοητικῷ τε καὶ φυσικῷ τὰς πρὸς ἄλληλα σχέσεις οὕτω σοφῶς καὶ θαυμασίως, ὥστε τὴν ψυχὴν ἐν ἀγνοίᾳ μὲν, ἀκριβῶς ὅμως ἀνευρίσκουσαν κατὰ τὴν χρείαν τὰ ἐπιτήδεια ὄργανα, ἔξω προΐεσθαι τὰς ἐντὸς διαθέσεις τε καὶ διανοήσεις, καὶ αἰσθητὰς ἀποδεικνύειν αὐτὰς διὰ τῶν σωματικῶν κινήσεων; Δῆλον γὰρ ὅτι, ἐπειδὴ ἀγνοοῦμεν πάντα ταῦτα τὰ ὑποκινοῦντα ἡμᾶς, καὶ ἀκολουθοῦμεν ἀεὶ τῇ παρὰ τούτων ὁρμῇ ἀβουλεύτως, κἂν τύχωμέν ποτε ἐξευρόντες τὴν μυστηριώδη καὶ ἀπόκρυφον ἐν ἡμῖν τούτων αἰτίαν, διὰ τοῦτο οὐκ ἐσμὲν ἐλεύθεροι εἰς ὅσας πράξεις ὑποκεντούμεθα ὑπ' αὐτῶν, οὐδ' ἔστι τῶν ἐφ' ἡμῖν διιθύνειν αὐτὰ κατὰ

τὸ δοκοῦν· Θεὸς δ' ἐν ἡμῖν σοφῶς τὰ τοιαῦτα περαίνει· αὐτοὶ δ' ἐκεῖνο μόνον ἴσως ἂν ἔχοιμεν κατορθῶσαι, τὸ προκαλέσαι ἢ κωλῦσαι, τὸ θᾶττον ἢ βραδύτερον προελθεῖν ποιῆσαι, τὸ συντεμεῖν ἢ παρατεῖναι τὴν ἐνέργειαν τούτων.

§. 315. *Ἕξεις.* — Ἐῶμεν δ' ἔτι καὶ τὰς διαφόρους ἕξεις ἢ ἐθισμούς, ὑφ' ὧν ἀγόμενοι τὰς πλείστας τοῦ βίου πράξεις περαίνομεν· εἰσὶ δὲ καὶ αὗται ὁρμαί τινες ἢ ῥοπαί, ἢ δυνάμεις καὶ διαθέσεις οὐ σύμφυτοι μὲν ἡμῖν ἀπ' ἀρχῆς, ἐπείσακτοι δὲ καὶ ἐπιβεβλημέναι ὑπὸ χειρὸς ἀνθρωπίνου, καὶ κατὰ βραχὺ οἷον δευτέρα τις φύσις ἐν ἡμῖν ἀποβᾶσαι, τὸ μὲν πρῶτον κατὰ βούλησιν ἡμῶν ἐνεργούμεναι, ἔπειτα δ' ἀναγκαστικαὶ γινόμεναι καὶ αὐτοματὶ δρῶσαι, ὡς τὴν συναίσθησιν ἡμῶν διαφεύγουσαι. Ἕως γὰρ αἱ ἕξεις αὗται ἀκωλύτως ἐπαναλαμβανόμεναι, οὐ μόνον οὐ καταργοῦνται, ἀλλὰ καὶ πυκνότεραι τοὐναντίον καὶ συντονώτεραι γινόμεναι ἐπιῤῥώννυνται μᾶλλον, οὐχ ὡς τὸ πρῶτον πειθαρχοῦσι τῇ νοήσει καὶ τῇ βουλήσει, ἀλλ' ἀφ' ἑαυτῶν ἱκαναί εἰσι χωρεῖν πρὸς τὸ οἰκεῖον τέλος. (α) Καί τοι τὸ μὲν ἐνορμῶν ἢ ὁ αὐτοματισμὸς μυστήριόν τι ἡμῖν ἔσται διὰ παντός· ἡ δ' ἕξις ἴσως ἂν λανθάνοι τὸ κατ' ἀρχάς, ἀλλ' ὅμως οὐ πάμπαν οὐδ' ἐσαεί· οὐ γὰρ ἀμήχανον ἀνευρεῖν τὰ ἴχνη αὐτῆς, ὅταν ἡμῖν σφόδρα βουλομένοις ᾖ· καταμαθοῦσι δ' ἅπαξ τὸ ἀπόκρυφον τῶν τοιούτων ὑποκινήσεων, ἐπειδὴ μάλιστα ἡμέτερόν ἐστι τὸ ἔργον εἴτ' ἀγαθὸν εἴτε κακόν, καὶ αὐτοὶ ἐν ἑαυτοῖς τὰς τοιαύτας διαθέσεις καὶ κλίσεις ἐνειργασάμεθα, ἐφ' ἡμῖν ἐστιν ἀναλαβεῖν τὴν διαχείρισιν καὶ διεξαγωγὴν αὐτῶν, ἐνδελεχίζοντας μὲν καὶ τελειοποιοῦντας αὐτάς, ἐὰν ὀρθαὶ ἡμῖν εἶναι δοκῶσιν· ἐπανορθοῦντας δὲ καὶ μεταῤῥυθμίζοντας, ἐὰν τοὐναντίον φαύλας αὐτὰς εἶναι ὑπολαμβάνωμεν. Τὰς δ' ἐμφύτους ὁρμὰς μεταβαλεῖν ὅλως ἀδυνατοῦμεν, ἀλλὰ διαμενοῦσιν ἐν ἡμῖν ὡς οὐσιώδεις καὶ ἀναγκαῖαι ῥοπαὶ καὶ ὡς δυσαπάλλακτοι διαθέσεις τῆς διανοητικῆς ἡμῶν φύσεως καὶ συστάσεως· ὅτι οὐκ ἀνθρωπίνη ταύτας, ἀλλὰ θεία χεὶρ ἐνέθηκε κραταιά τε καὶ ἀκαταμάχητος.

(α) Ὅρ. Ἠθικ. Νικομ. Βιβλ. Β'. Κεφ. α. «Καὶ ἑνὶ δὴ λόγῳ ἐκ τῶν ὁμοίων ἐνεργειῶν αἱ ἕξεις γίγνονται. Διὸ δεῖ τὰς ἐνεργείας ποιὰς ἀποδιδόναι· κατὰ γὰρ τὰς τούτων διαφορὰς ἀκολουθοῦσιν αἱ ἕξεις. Οὐ μικρὸν οὖν διαφέρει τὸ οὕτως ἢ οὕτως εὐθὺς ἐκ νέων ἐθίζεσθαι, ἀλλὰ πάμπολυ, μᾶλλον δὲ τὸ πᾶν.» Τὴν τρίτην δ' ὁ φιλόσοφος τάξιν εἰς τὰ ἐν τῇ ψυχῇ γινόμενα ἀπονέμει ταῖς ἕξεσιν. Ὅρ. αὐτ. ἐ. «Ἐπεὶ οὖν τὰ ἐν τῇ ψυχῇ γιγνόμενα τρία ἐστί, πάθη, δυνάμεις, ἕξεις, τούτων τι ἂν εἴη ἡ ἀρετή.» Ἀλλὰ σημειωτέον ὅτι ἡ μὲν ἕξις ἐνταῦθα ἀπροαιρέτως δρᾷ· ἡ δ' ἀρετὴ ἔργον ἐστὶν ἐλευθερίας καὶ προαιρέσεως. Διὸ καὶ λέγει ς'. «Ἡ τοῦ ἀνθρώπου ἀρετὴ εἴη ἂν ἕξις, ἀφ' ἧς ἀγαθὸς ἄνθρωπος γίγνεται, καὶ ἀφ' ἧς εὖ τὸ ἑαυτοῦ ἔργον ἀποδώσει·» καὶ κατωτ. σαφέστερον· «Ἔστιν ἄρα ἡ ἀρετὴ ἕξις προαιρετική, ἐν μεσότητι οὖσα . . . » Ἀλλὰ μετὰ ταῦτα ἐργάζεταί τις καὶ καθ' ἕξιν τὴν ἀρετήν.



§. 316. Οὕτως οὖν ὁ ἄνθρωπος πλειστάκις ἀκουσίως καὶ ὑπ' ἀνάγκης τινὸς ἐνεργεῖ· τί δὲ τὸ ἱστὰν ἐκ διαλειμμάτων καὶ ἀναβάλλον ἢ ὑπερτιθέμενον τὴν ἐλευθέραν ἐνέργειαν τῆς ψυχῆς; Δύο τινὰ σαφῶς ἐστιν ἐμφαινόμενα ταῖς προεκτεθειμέναις περιστάσεσι· πρῶτον μὲν γὰρ ἐνίοτε οὕτως ἀσθενῶς ἑαυτῆς αἰσθάνεται ἡ ψυχή, καὶ οὕτω τάχιστα ἐπιλανθάνεται τῶν ἐν αὐτῇ περαινομένων, ὥστε οὐκ ἂν τις εἰπὼν ἁμάρτοι τοῦ ἀληθοῦς, ὅτι ἑαυτὴν τότε οὐ νοεῖ· εἰ γὰρ καὶ μὴ παντάπασιν ἑαυτὴν ἀγνοοίη, οὕτως ὅμως ἐλάχιστα καὶ ἐπιπόλαια αἰσθάνεται, ὥστ' ἀδυνατεῖ τὰ καθ' ἑαυτὴν διεξάγειν· τυφλῇ δ' οὕτω καὶ ἀνοήτῳ δυνάμει ἔοικε, κἀντεῦθεν ἀφυεῖ καὶ ἀνικάνῳ πρὸς τὴν τῆς ἰδίας ἐνεργείας κυβέρνησιν, ὃ συμβαίνει ἐν τῷ βυθίστῳ ὕπνῳ. Δεύτερον δέ, καὶ ὅταν αὐτὴ μὲν ἐγρηγορῇ καὶ κατανοῇ ἀκριβῶς πάνθ' ὅσα ὑφίσταται, αἱ δὲ δυνάμεις αἱ ὀργανικαὶ ἀφηνιάζωσι καὶ ὀχλαγωγικῶς ἀτακτῶσι, καταστέλλουσαι αὐτὴν ἢ παραφέρουσαι, καὶ τότε οὐχ οἵα τέ ἐστι χρῆσθαι τῇ ἐλευθερίᾳ· οὐκέτι γὰρ δεσπόζει τῶν ὑφ' ἑαυτήν, ὡς ἀφῃρημένη τὴν ἐξουσίαν ὑπὸ τῶν κατεπαναστάντων ὑπηκόων, καὶ κατὰ τοὺς νόμους αὐτῶν ἐνεργεῖν ἀναγκαζομένη. (α) Πότε μὲν οὖν καὶ διατί ὁ ἄνθρωπος οὐκ ἔστιν ἐλεύθερος, εἴρηται· ἴδωμεν δὲ νῦν ὅπως ἀναλαμβάνει τὴν αὐτεξουσιότητα.

§. 317. Γ^ον^. *Πότε καὶ πῶς ἡ ψυχή ἐστιν ἐλευθέρα.* — Ἔχοι δ' ἄν τις συλλογιστικῶς αὐτόματον οἱονεὶ συναγαγεῖν τὸ προκεί-

(α) Ἔχει τις παραβαλεῖν τὸν ἄνθρωπον ἅρματι φερομένῳ ὑπὸ ξυνωρίδος, κινητρίας δυνάμεως οὔσης· ἔνθα ἡ αὐτεξουσιότης, (ἢ ὁ λόγος ὁ κανονίζων καὶ διευθετῶν ἐν ἡμῖν τὴν δίζυγον ἐνέργειαν) νῦν μὲν ἐνισχεῖ, νῦν δὲ ἀνίησι τὰς δυνάμεις χαύνως ἢ παραβόλως κινουμένας.

μενον, ἐπιχειρῶν ἐκ τῆς ἀντιθέσεως καὶ ἐναντιώσεως τῆς ἐνυπαρχούσης ἑκατέρᾳ τῶν ἀντιδιαστελλομένων καταστάσεων· εἰ γὰρ ἐν θατέρᾳ τούτων ἐστὶν ἀναγκαστὴ καὶ δούλη, πάντως γε ἐν τῇ ἀντικειμένῃ ἐλευθέρα τοὐναντίον καὶ αὐτόνομος ἔσται. Ἡ δ' ἀντίθεσις καὶ ἀντιδιαστολὴ αὕτη ἐστὶ πασίδηλος· ἐνίοτε μὲν γὰρ ἐνεργοῦμεν ἀσκέπτως καὶ καθ' ὁρμήν· ἐνίοτε δὲ, ὃ καὶ συχνότερον, αὐτοὶ προορώμεθα καὶ διεθύνομεν τὰς καθ' ἡμᾶς πράξεις μετὰ φρονήσεως, ὡς ἄρχοντες ἑαυτῶν· τὰ μὲν οὖν κινήσεις εἰσὶν, αἷς τυφλῶς πειθαρχοῦμεν· τὰ δὲ διορισμοὶ, οὓς αὐτοὶ προβεβουλευμένοι συλλαμβάνομεν. Ἐξαιρουμένης οὖν τῆς ζωῆς καὶ τῆς ἐνεργείας, ἃ ἑκατέρωθεν ἐνορᾶται, τὸ λοιπὸν παντάπασιν ἀνόμοιόν ἐστι καὶ διάφορον. Ἀλλαμὴν ἀδύνατόν ἐστι καὶ ἐκεῖνα καὶ τὰ ἐναντία ἐκείνοις ἐξ ἴσου αὐτοφυῆ εἶναι καὶ ἀναγκαστά· σύγχυσις γὰρ αὕτη ἀσύγγνωστος δύο τινῶν ἀντικειμένων πραγμάτων εἰς μίαν ἔννοιαν καὶ εἰς ἓν ὄνομα. Ἐπειδὴ γὰρ ἐν μὲν τοῖς ἑτέροις ἔνεστιν ἀναγκαιότης, ἐν δὲ τοῖς ἀντιθέτοις μὴ ἀναγκαιότης· (τῶν γὰρ ἐναντίων τὰ ἐναντία ἐστὶν ἀποδεικτικά·) ἐντεῦθεν συνάγεται τρανῶς ἡ ἐλευθερία. Καὶ μηδεὶς οἰέσθω, ὅτι ἀντιφατικόν τι ἐνέσται τῇ τοῦ ἀνθρώπου φύσει· οὐ γὰρ ἐν τῷ αὐτῷ χρόνῳ καὶ ἔργῳ ἐλευθέραν ἅμα καὶ ἀναγκαστὴν φαμὲν τὴν ψυχὴν, ἀλλ' ἐν διαφέρουσιν· ὃ δὴ καὶ εὐπαράδεκτόν ἐστι καὶ εὐεξήγητον, εἰ νῦν μὲν ἀσθενεστέρα οὖσα ὑπείκει καὶ ὑποκλίνει, νῦν δὲ ἰσχυροτέρα ἀνθίσταται καὶ ἀποσείεται τὸν ζυγὸν τῆς ἀνάγκης. Ποικίλης γὰρ καὶ πολυστρόφου ἐνεργείας εὐμοιροῦσα, οὔτε ἀεὶ δουλεύει, οὔτε ἀεὶ αὐτονομεῖται, τάξιν τινὰ ἔχουσα διφυῆ μεταξὺ Θεοῦ καὶ τοῦ κόσμου· τὸ μὲν γὰρ θεοειδὲς ἐν αὐτῇ ἐλευθέραν ἀναδείκνυσι· τὸ δὲ πεπερασμένον δούλην καθίστησιν· οὐκ ἄρα διαμάχη καὶ ἀντίφασις, ἀλλὰ διαλλαγὴ αὕτη καὶ σύμβασις δύο φύσεων. Καί τοι ἐν παρόδῳ τοὐπιχείρημα τοῦτο προεισῆκται, καὶ καθ' ἑαυτὸ μὲν οὐχ ὅλως ἀπόβλητον ὄν, ἀλλὰ καὶ εἰς τὰ μετὰ ταῦτα ῥηθησόμενα ἱκανῶς προπαρασκευάζον.

§. 318. Ὥσπερ οὖν δύο ἐστὶ τὰ τὴν τῆς ἐλευθερίας χρῆσιν κωλύοντα, τὸ ἀσυναίσθητον τῆς ψυχῆς, καὶ τὸ τῶν φυσικῶν δυνάμεων ἐπαναστατικὸν κατ' αὐτῆς· οὕτω δὴ τοὐναντίον δύο τινά

SISMANOGLIO MEGARO



ἐστιν ἀναπόφευκτα καὶ οὐσιώδη πρὸς τὴν τοῦ αὐτεξουσίου ὕπαρξιν, ἡ συναίσθησις τῶν ἐντὸς γινομένων, καὶ ἡ κατὰ τάξιν ἐνέργεια τῶν ὀργάνων· οὕτω γὰρ ἡ αὐτότης, ἑαυτῆς μὲν ἐναργῶς αἰσθανομένη ἐν πλήρει ζωῇ καὶ κινήσει, τὰς δ' ἔξωθεν προσβολὰς ὁμαλῶς καὶ ἀθορυβήτως εἰσδεχομένη, ἀκωλύτως δύναται τῷ ἐν αὐτῇ ἐνεργητικῷ χρήσασθαι, ἐν τοῖς τεθειμένοις πάντως ὑπὸ τῆς φύσεως ὁρίοις. Δύο μὲν οὖν αὗται συνθῆκαι προαπαιτούμεναι πρὸς τὴν τῆς ἐλευθερίας ἀνάκτησιν, οὐκ ἔστι δὲ αὐτὴ ἡ ἐλευθερία. Τίς ἄρα ὁ λόγος, δι' ὃν πειράσεται ἀναλαβεῖν τὸ αὐτοκυβέρνητον, πρᾶγμα ὂν ἐπίμοχθον καὶ συντονίας τινὸς δεόμενον; Πρῶτον μὲν οὖν ἀναγκαῖόν ἐστι συνιδεῖν, ὅτι ἕως ἐνεργεῖ μὲν ἐν γνώσει καὶ ἀταράχως, ὑποχωρεῖ ὅμως καὶ ἐνδίδωσι τοῖς ἑκάστοτε ὑποκινοῦσιν αὐτὴν, κινδυνεύει ὁμοίως τῶν τε ἀγαθῶν καὶ τῶν κακῶν ῥοπῶν κατακούουσα, ἐπ' ὀλέθρῳ καταχρῆσθαι τῇ ἐνεργείᾳ αὐτῆς· οὐ γὰρ αὐτῇ ὁ βίος αὐτάρκης καὶ αὐτοτελὴς δέδοται, οἷος μὴ χρῄζειν φυλακῆς τε καὶ ἐγρηγόρσεως. Νοοῦσα τοίνυν ὅπως δήποτε τὴν φύσιν καὶ τὸν προορισμὸν αὐτῆς, ὅ,τι δηλαδή ἐστι, καὶ πρὸς τί τέλος ἀποτείνεσθαι ὀφείλει, καὶ πεποιθυῖα ὅτι ἐκ τῆς ἀμελείας, ἐὰν μὴ φθᾶσα αὐτὴ τὴν διοίκησιν τοῦ ἐνεργητικοῦ ἀναλάβῃ, εἰς τὸ κακὸν ἐκτραχηλισθήσεται, ἀγωνίζεται παντὶ σθένει διὰ τῆς ἐλευθερίας προλαβεῖν τὰ ἐπιόντα δεινά. (α)

§. 319. Αἱ δύσκολοι οὖν καὶ χαλεπαὶ περιστάσεις, ὧν διηνεκῶς ἐν τῷ βίῳ πειρᾶται, ἀναγκάζουσιν αὐτὴν συντόνως ἀνασώσασθαι τὴν κυριαρχίαν ἑαυτῆς· τοῦτο δέ ἐστι πάντα τὰ δεινὰ, ὅσα ἐκδειματοῖ αὐτὴν ἢ καὶ κατείληφεν ἤδη, καὶ πάνθ' ὅσα ἐμποδοστατεῖ πρὸς τὴν πρόοδον καὶ τελειοποίησιν. Τὸ γὰρ σύμπαν οὕτω διατέτακται, ὥστε παιδαγωγεῖν αὐτὴν καθ' ἑκάστην, καὶ ὁ μέγας τῆς δοκιμῆς νόμος, ὃς ὑπὸ τὸ παντέφορον ὄμμα τῆς Θείας Προνοίας διεξάγει τὴν φορὰν τῶν πραγμάτων, τούτου ἕνεκά ἐστιν, ἵνα βελτίονα τὸν ἄνθρωπον καὶ οἷον ἄπεμφθον καταστήσῃ ὡς χρυσὸν ἐκ χωνευτηρίου, ἢ κρείττονα καὶ στομώτερον ὡς σίδηρον ἐκ βαφῆς

(α) Ἀριστ. Ἠθικ. Νικομ. Βιβλ. Β. Κεφ. γ. «Κανονίζομεν δὲ καὶ τὰς πράξεις, οἱ μὲν μᾶλλον, οἱ δὲ ἧττον, ἡδονῇ καὶ λύπῃ.»

ἐξιόντα. Τὸ γὰρ ἀλγεῖν μὲν ἐφ' οἷς ἔχει ἐλλείμμασιν ἥ τε ψυχὴ καὶ τὸ σῶμα, ἄχθεσθαι δὲ καὶ ἐπὶ ταῖς συμφοραῖς τῶν οἰκείων καὶ φίλων, καὶ καθ' ἑκάστην πικρίας ἀνάμεστον διάγειν τὸν βίον, τοῦτο οὐκ ἄνευ τινὸς λόγου καὶ σκοποῦ ἐστιν, ἀλλ' ἵνα διεγείρῃ πρὸς τὴν ἐργασίαν καὶ ἀσχολίαν, πρὸς τὴν ἀνδρείαν, πρὸς τὴν πάλην καὶ τὴν ἀρετὴν, ὅ ἐστι πρὸς τὴν ἐλευθερίαν. Ἐκ γὰρ τῶν πειρασμῶν τούτων ἀναφαίνεται ἐλεύθερος, ἐὰν ὑπομένων μετὰ τῆς προσηκούσης καρτερίας, καὶ καθορῶν τὴν ἀσθένειαν καὶ βλάβην αὐτοῦ, πειρᾶται αὐτὸς διοικεῖν τὴν ἐν αὐτῷ ἐνέργειαν, διαῤῥηγνὺς τοὺς ἔξωθεν δεσμοὺς τῶν χειρόνων καὶ δυσπειθῶν δυνάμεων. Εἰ μὲν γὰρ ἡ δουλεία ἦν αὐτῷ ἀεὶ γλυκεῖα καὶ φορητὴ, διέμενεν ἂν ἐσαεὶ δοῦλος καὶ ὑποταγής· ἀφροντιστοῦντα γὰρ καὶ κρείτονός τινος βίου μὴ ὀρεγόμενον, οὐδὲν ἂν ἐκίνησεν εἰς ἔργα γενναῖα μὲν, ἀλλ' ἐπίμοχθα. Τί γὰρ καὶ ἔμελλε πόνους ἀναδέξεσθαι καὶ τὸν ἀκύμαντον ῥοῦν μεταβαλέσθαι τοῦ βίου; τί χρὴ μάτην ταράττεσθαι καὶ κύμασι προσπαλαίειν; εἰ μὲν τοίνυν οὕτως εἶχε τὰ πράγματα, οὐδὲν ἂν αὐτοὶ ἐπράττομεν, καὶ ἡ ἐλευθερία ἄχρηστος ἂν οὖσα ἡμῖν εἰς οὐδὲν ὤνησεν, εἰ μὴ πράγματα παρεῖχε καὶ τραχύτητας ἀλυσιτελεῖς· ἀλλ' ὅμως τ' ἀγαθὰ ἡμῖν καὶ τὰ κακὰ ἀναμὶξ ἐπιγίγνεται, καὶ πολλάκις πολλῷ πλείω τὰ λυπηρὰ τῶν ἡδέων ἐστί· διὰ τοῦτο δὴ καὶ πειρώμεθα καταστρέφειν τὸ τῆς ἀνάγκης κράτος, ἀπαλλαττόμενοι τῆς βίας τῶν ἀλλοτρίων ἡμῖν δυνάμεων.

§. 320. Δον. *Πρώτη δήλωσις τῆς ἐλευθερίας, ἡ αὐτεξουσιότης· οἱ βαθμοὶ καὶ τὰ ὅρια αὐτῆς.* — Οὕτως οὖν ἐκ τῆς κακότητος τῶν περιστάσεων γίνεται ἡ ἐλευθερία· ἀλλὰ τί ἐστιν ἡ ἐλευθερία; ποῦ συνίσταται μάλιστα ὁ νέος οὗτος τρόπος τοῦ ἐνεργητικοῦ; τὰ μὲν γὰρ μέχρι τοῦδε εἰρημένα προὐργιαίτατα ἦν, ὡς προεισάγοντα ἱκανῶς εἰς τὴν κατανόησιν καὶ ἐξήγησιν τῶν ἔργων, ὧν ἐστιν ἀχώριστος ἡ ἐλευθερία· περὶ αὐτῆς δὲ κυρίως οὐδείς πω ἐγένετο λόγος. Πῶς οὖν ἐμφαίνεται κατ' ἀρχάς; τί τὸ πρώτιστον ἔργον, δι' οὗ καταδείκνυται; οὐ γάρ ἐστιν ἡ βούλησις, ὡς ἑξῆς ὀψόμεθα· ἡ γὰρ βούλησις προέρχεται ἐκ τῆς κρίσεως, πρὸς ἣν ἡ βούλευσις οἷον προοδοποιοῦσα ἀποτελευτᾷ. Οὐκ ἔστι δὲ οὐδ' ἡ

SISMANOGLIO



βούλευσις, ὡς παρεπομένη ἑξῆς· πρὸ γὰρ τοῦ βουλεύσασθαι καὶ τοῦ βουληθῆναι προηγεῖταί τι ἕτερον, ὃ δυνατὴν καθίστησιν ὡς ἀρχὴ καὶ αἰτία ἑκατέραν τῶν ἐργασιῶν τούτων. Τί οὖν τὸ προηγούμενον τοῦτο ἔργον; πρότερον μὲν γὰρ ἡ ψυχὴ ὑπεχώρει ταῖς ἀφικνουμέναις εἰς αὐτὴν προσβολαῖς, καὶ τὴν τῶν ἔξω δυνάμεων ἐξουσίαν ὑφίστατο· ἔπειτα δ' αἴφνης μεταβάλλουσα ἀντιδρᾷ καὶ αὐτὴ, καὶ οὐκ ἀνέχεται τῆς παρ' ἐκείνων δεσποτείας· συνελισσομένη δὲ εἰς ἑαυτὴν καὶ ἀποτινασσομένη τὴν χαυνότητα, δι' ἣν ἀγεννῶς ἔνθα κᾀκεῖσε διαφερομένη ἐτύγχανεν, ἀνθίσταται καὶ τοῦ πρόσθεν ἀνακόπτεται δρόμου, καὶ ἀγωνίζεται μὴ περαιτέρω ἁπλῶς οὕτως ἰέναι, τῶν μὲν ἑτέρωθεν παρορμήσεων πάντῃ καταφρονοῦσα, τῆς δὲ ἰδίας γνώμης ἰσχυρῶς ἀντεχομένη, ἵν' οὕτως ἄμεινον ἴδῃ αὐτογνωμόνως ποτέρωσε τράπηται. Συναγείρει οὖν τὰς διεσκεδασμένας αὐτῇ δυνάμεις, καὶ συναθροίζει εἰς ἓν τὴν πολύστροφον αὐτῆς ἐνέργειαν, καὶ καθυποτάσσει ἀνδρείως ἑαυτῇ, οὔτε τὴν νόησιν ἐῶσα καταδαπανᾶσθαι εἰς ἀντιλήψεις ἐπιπολαίους καὶ ἀνακολούθους καὶ παραλόγους, ἀλλὰ πρὸς ἕν τι ἐφιστῶσα αὐτὴν καὶ περιγράφουσα· οὔτε τὴν πάθησιν παρορῶσα χαίρουσαν ἐπὶ φαντάσμασιν ἀνυποστάτοις, ἀφυβρίζουσάν τε καὶ ὁρμαινομένην εἰς παρεκτροπὰς ὀλεθρίους, ἀλλὰ περιορίζουσα, ἀναχαιτίζουσα καὶ ἐπέχουσα, ἵνα διὰ τοῦ χρόνου κατίδῃ, ποῦ δεῖ παρορμῆσαι καὶ ἀνιέναι αὐτήν.

§. 321. Οὕτω δὲ τὰ ἐκ τῆς ψυχῆς προϊόντα, νοήματά τε καὶ παθήματα, καὶ ἁπαξάπαντα τὰ ἐνεργήματα, ὅσα περαίνει αὐτοφυῶς καὶ καθ' ὁρμὴν, ἐστὶν ἴδια αὐτῆς οὐ μόνον ὡς ἀναφυόμενα ἐκ τῆς οὐσίας αὐτῆς καὶ ὑποπίπτοντα τῇ ἐνδομύχῳ αὐτῇ συναισθήσει· ἀλλὰ μᾶλλον ὡς κατ' ἐπιταγὴν αὐτῆς γινόμενα, καὶ τῆς ἔνδον αὐτοκρατορίας προερχόμενα, ὧν δὴ καὶ τὴν εὐθύνην ἐφ' ἑαυτῆς ἀναδέχεται. Πρῶτον μὲν γὰρ ἦσαν ἀποτελέσματα αὐτῆς, ἁπλῶς οὕτω καὶ καθ' ὁρμὴν ταῦτα περαινούσης· νῦν δὲ μᾶλλον οἰκεῖον ἔργον ἐστὶ καὶ ὅλως προσωπικόν. Τί οὖν συνέβη αὐτῇ, μεταβαλούσῃ οὕτως ἐκ δυνάμεως ἀναγκαστῆς εἰς δύναμιν αὐτουργόν; κράτος ἔσχεν ἐφ' ἑαυτῆς, ἡ *αὐτεξούσιος* ἐγένετο. Πάντα γὰρ τὰ προωνομασμέ-

να, *συνάθροισις*, *ἐποχὴ*, *ἐπιστασία*, *ἀναχαίτισις*, *ἀνακοπὴ* κτλ. οὐδὲν ἕτερον ἢ τὸ τῆς *αὐτεξουσιάσεως* ἔργον πολυτρόπως ἑρμηνεύει.

§. 322. Ἀλλὰ πῶς καὶ αὐτὴν ἐξηγητέον τὴν αὐτεξουσίασιν; τί τὸ παραίτιον τῆς τοιαύτης καταστάσεως; Ἡ ψυχὴ ἅμα κατιδοῦσα τὸ κακὸν καὶ τὸν ἐντεῦθεν κίνδυνον, ἀναδιπλοῖ καὶ ἐπιτείνει ἐπὶ πλέον τὴν ἑαυτῆς ἐνέργειαν. Οἶδε γὰρ ὅτι ἕως διατελεῖ δρῶσα μόνον ὑπὸ τὰς προσβολὰς τῆς *ἑτερότητος*, καὶ οὐδὲν οἴκοθεν αὐτενεργεῖ, δύναμις *ἑτέρων* οὖσα μᾶλλον ἢ *ἑαυτῆς*, ὀλέθριον ἔσται αὐτῇ ἡ δουλεία καὶ ὑποχώρησις· διὸ καὶ συντεινομένη ἀποῤῥήγνυσι τοὺς δεσμοὺς καὶ ἀπολύεται· ἀποσπωμένη δ᾽ ἐκεῖθεν περιποιεῖ τελευτῶσα πλήρη ἑαυτῇ καὶ τελείαν τὴν προσωπότητα. Μέχρι μὲν γὰρ τούτου διεκρίνετο ἀπὸ τῆς *ἑτερότητος* μόνον διὰ τῆς συναισθήσεως τῶν ἐν ἑαυτῇ γινομένων· ἤδη δὲ διαστέλλεται τρόπον ἑτερόν τινα καὶ εὐκρινέστερον, οὐ μόνον δηλαδὴ ἐν νοήσει, ἀλλὰ καὶ ἐν δράσει, *αὐτότης* ὡς ἐκ δύο τινῶν ἀποβαίνουσα, ἔκ τε τῆς συναισθήσεως καὶ ἐκ τῆς αὐτεξουσιότητος. Ἡ δὲ τοιαύτη ἀντιδιαστολή, δι᾽ ἧς γίνεται ἑαυτῆς, οὐ παντελής ἐστιν ἀπομόνωσις, πᾶσαν σχέσιν καὶ ἐπενέργειαν ἀλλοτρίαν καταργοῦσα· τοῦτο γὰρ ἀδύνατον· (ἐπεὶ καὶ Θεὸς αὐτὸς ἐκ τῆς ὑπερτάτης αὐτοῦ καὶ ἀπολύτου μεγαλειότητος, πᾶσιν οἰκειοῦται καὶ συνάπτεται·) παύεται μέντοιγε οὖσα δύναμις ἑτέρας δυνάμεως, καὶ ζῶσα ζωὴν ζωῇ ἀλλοτρίᾳ συγχεομένην, καὶ οἰχομένην ἀδιάκριτον καὶ ἀνυπόστατον· ἀλλὰ διὰ τοῦ αὐτεξουσίου καταπαλαίουσα τὴν σύγχυσιν ταύτην, ἀναφαίνεται οὖσα *αὐτή*, εἰς πρόσωπον ἴδιον διακρινομένη· ἀποσεισαμένη γὰρ τὴν δεσποτείαν τῶν πολλῶν καὶ τῶν παρατυχόντων, αὐτὴ ἑαυτῆς οὕτως εἰπεῖν μονάρχης σύῤῥιον καθίσταται, παντοδύναμος μὲν οὔ, οὐδ᾽ ἐξ ἴσου ἀεὶ δυναμένη, αὐτόβουλος ὅμως καὶ αὐτοκράτειρα. (α)

(α) Ἐν τῇ ἀρχῇ ἐλάβομεν τὴν αὐτότητα ἀπὸ μόνης τῆς αὐτοσυναισθήσεως, δι᾽ ἧς διακρίνεται ἀπὸ τῆς ἑτερότητος· ἤδη δὲ προσλαμβάνεται καὶ ἡ αὐτεξουσιότης, δι᾽ ἧς ἕκαστος ἡμῶν ὑπόστασιν ἰδίαν ἑαυτῷ εὐκρινέστερον περιποιεῖται. Ὅρ. §. 6.



§. 323. Ἀλλὰ καταδείξωμεν εὐθὺς καὶ τὰ ὅρια, ἵνα πᾶσαν ἔνστασιν αὐτοὶ φθάντες ἀποκρουσώμεθα. Ὁ γὰρ ἄνθρωπος ὁμολογουμένως οὐδέποτε ἕξει τοσαύτην ἐξουσίαν, ὥστε μεταβαλεῖν τὴν οἰκείαν φύσιν καὶ καταργῆται τοὺς νόμους καὶ τὰς σχέσεις αὐτῆς, καὶ ἀντὶ τοῦ θείου δημιουργήματος ἀντικαταστῆσαι ἕτερόν τι, ἔργον τῆς ἰδίας αὐτοῦ χειρός· οὐ μᾶλλον γὰρ ἑαυτὸν ἐξαλλοιῶσαι δύναται, ἢ τἄλλα τοῦ σύμπαντος κτίσματα, ὡς ἐργαζόμενος ἀεὶ ἐπὶ ὕλης προϋποκειμένης καὶ κατὰ νόμους τεταγμένους ὑπὸ Θεοῦ. Ἔστι μὲν γὰρ αὐτῷ ἐπὶ τὸ βέλτιον ἢ τὸ χεῖρον μεταστῆναι παντοιοτρόπως, ἀλλ᾽ ὅμως ἀεὶ συμφώνως τῇ κατ᾽ αὐτὸν οὐσίᾳ καὶ ἀρχεγόνῳ συστάσει· ὅ,τι γὰρ ἂν πράξῃ, ἄνθρωπος ὢν διατελέσει ἀεί. Χωρὶς οὖν τῶν ὁρίων, ἐν οἷς αὐτὸς ἑαυτὸν περιγράφει ἐκ φρονήσεως ἢ ἀνανδρίας, ἔστι καὶ ὅρια ἀναγκαῖα, ἃ ὑπεραλέσθαι ἀμήχανον· οὗτος γὰρ ἐστιν ὁ ἀνυπέρβατος θριγκὸς ὁ περιορίζων αὐτῷ τὴν ἐλευθερίαν· ἔστι μὲν γὰρ αὐτεξούσιος ἐν πᾶσι, τῇ τε νοήσει καὶ τῇ παθήσει καὶ τῇ πρὸς τὸ οἰκεῖον σῶμα καὶ τὴν ἔξω φύσιν ἐπενεργείᾳ αὐτοῦ, ἀλλ᾽ οὐδαμῶς πέφυκεν ἐξαλλοιοῦν τὴν οὐσίαν καὶ τοὺς νόμους τῶν ἐν αὐτῷ ἱκανοτήτων. Ἡ μὲν γὰρ νόησις φύσει χωρεῖ ἐκ τῆς γνώσεως εἰς τὴν μνήμην, καὶ ἐκ τῆς μνήμης εἰς τὴν φαντασίαν. Τὸ δὲ πάθος ὁμοίως πρὸς ὡρισμένον τι φέρεται δι᾽ ὁρμῶν τινων ἀναγκαίων· ἀμηχανεῖ οὖν τὴν ἐν τούτοις τάξιν καὶ οὐσιώδη φύσιν ἐναλλάξαι. Ὡσαύτως δὲ τὸ μὲν σῶμα ἔχει λειτουργίας τινὰς οὐκ αὐθαιρέτους· ὁ δὲ κόσμος, δυνάμεις οὐχ ἁπλῶς καὶ ὡς ἔτυχεν ἐνεργούσας. Ἔστιν οὖν ἐλεύθερος πρὸς ἑκάτερον τούτων, ἕως ἂν μηδὲν τολμᾷ κατὰ τῆς ἐνούσης ἑκατέρῳ φύσεως καὶ πρώτης συστάσεως. Συνελόντι δὲ φάναι ὁ ἄνθρωπός ἐστιν ἀεὶ ἄνθρωπος, καὶ ὅσον ἂν γένηται αὐτοκράτωρ, οὔτε τὴν τοῦ Θεοῦ, οὔτε γοῦν τὴν τῶν ἀγγέλων ἕξει ἐλευθερίαν, ἀλλὰ μόνον τὴν προσήκουσαν τῇ τάξει αὐτοῦ καὶ ταῖς περιστάσεσι ταῖς συνδεούσαις αὐτὸν πρὸς σύμπασαν τὴν κτίσιν.

§. 324. Καί τοι καὶ περιωρισμένος ὑπὸ πολλῶν ἀναγκαιοτήτων, πολλῆς ἔτι εὐμοιρεῖ τῆς ἐλευθερίας. Αἱ γὰρ ἐν αὐτῷ δυνάμεις ὡς μὲν πρὸς τὴν οὐσίαν καὶ τοὺς νόμους τοὺς διέποντας τὴν προσ-

δον αὐτῶν εἰσιν ἀμετάβλητοι· ὡς δὲ πρὸς τὴν ἐπίτασιν καὶ τὴν στροφὴν καὶ τὴν ἐφαρμογὴν, μυρίας μεταβολῆς καὶ διαφορότητός εἰσιν ἐπιδεκτικαὶ, καὶ ἔστι κατά γε τοῦτο μεταποιῆσαι αὐτὰς πολυτρόπως, νῦν μὲν ἀναστέλλοντα, νῦν δ' ἄλλως ἄλλοσε ἀνιέντα· ταὐτὸν εἰπεῖν, φύσει μὲν καὶ κατ' ἀνάγκην ἐστὶ τὸ ἐνεργητικὸν αὐτοῦ νοητικὸν, παθητικὸν, κινητικὸν καὶ ἐκφραστικόν· ἀλλ' οὐ κατ' ἀνάγκην καὶ ἀνεπιστρεπτὶ παραδίδοται πᾶσι τοῖς δυνατοῖς ἐνεργήμασι τῆς νοήσεως, τῆς παθήσεως καὶ τῆς κινήσεως. Φρονήσει γὰρ χρώμενος, νῦν μὲν αὐτὸ καταπαύειν παραχρῆμα καὶ κατασιγάζειν δύναται· νῦν δ' ἀναστέλλων τῆς πρόσθεν παρεκτροπῆς, κατευθύνειν πρὸς τὰ ἀμείνω. Καὶ ὁρῶν μὲν οὐκ ἔχει μὴ ὁρᾷν, καὶ αἰσθανόμενος μὴ αἰσθάνεσθαι· ἔστι δὲ τῶν ἐπ' αὐτῷ μεταβάλλειν τὰς ἀντιλήψεις καὶ ποικίλλειν τὰ πάθη, καὶ τέχνῃ τινὶ εὐμηχάνῳ καὶ δεξιότητι κατορθοῦν καὶ ὡς πρὸς τὸ λογικὸν καὶ ὡς πρὸς τὸ ἠθικὸν, εἰ μὴ πάνθ' ὅσα βούλεται, πλεῖστα γοῦν ἐξ αὐτῶν. Καὶ ὡς ἔπος εἰπεῖν, ὁ ἄνθρωπός ἐστιν οὐσία οὔτε τὰς δυνάμεις αὐτῆς οὔτε τοὺς νόμους δημιουργοῦσα· χρωμένη δὲ ταῖς ἐμφύτοις δυνάμεσι καὶ πειθαρχοῦσα τοῖς ἐν αὐταῖς νόμοις, δύναται κατὰ τὸ μᾶλλον καὶ τὸ ἧττον ἀναστεῖλαι, μεταστῆσαι, προαγαγεῖν, διορθῶσαι καὶ ῥυθμίσαι ἑαυτήν.

§. 325. Ἀλλ' ἡ ἐλευθερία τοῦ ἀνθρώπου οὐ μόνον ἐστὶ περιωρισμένη κατ' ἀνάγκην, ἀλλὰ καὶ μεταβλητὴ καὶ ἑτεροδύναμος παρά τε τῷ αὐτῷ ἀτόμῳ ἐν διαφόροις περιστάσεσι, παρά τε ἑτέροις ἀτόμοις· καί περ δὲ πρόδηλον ὂν τὸ λεγόμενον, κάλλιστα εὑρίσκομεν αὐτὸ ἐκτεθειμένον ἀλλαχοῦ ὧδε. (α) « Διὰ μυρίων δὴ ἐπαλλαγῶν καὶ διαφοροτήτων ἐπενεργοῦμεν αὐτεξουσίως ἐπὶ τὰς ἐν ἡμῖν ἱκανότητας· οὕτω δὲ ποικιλότροπός ἐστιν ἡ ἐξουσία αὕτη καὶ παρ' ἑνὶ ἑκάστῳ τῶν ἀνθρώπων, ὥστε εἶναι χαλεπὸν ἄρα εὑρεῖν δύο τινὰς ἴσα κατὰ τοῦτο δυναμένους. Παρὰ μὲν γὰρ τοῖς πλείστοις μικρὰ πάνυ ἐστὶν ἡ αὐτεξουσιότης· τὰς γὰρ ἐγγενεῖς ἡμῖν ἱκανότητας φύσει δυσπειθεῖς οὔσας, ἀνάγκη ἐστὶν, ἵνα καθυποτάξωμεν τῇ βουλήσει,

(α) ὅρ. Νεωτέραν ἐγκυκλοπαιδείαν, Τόμ. 12. Σελ. 483. Μετιτέον δὲ ὅλον τὸ ἄρθρον.

SISMANOGLIO MEGARO



συντεῖναι ἡμᾶς αὐτοὺς παντὶ σθένει, ᾧ πάνυ εὐάριθμοι διὰ τὸ ἐπίπονον ἐπιχειροῦσιν. Ἔστι δ' ὅμως καὶ παρ' οἷς συγκροτεῖται ἡ πάλη αὕτη· καὶ τούτων δ' αὖ ἐλάχιστοί εἰσιν οἱ μέχρι τέλους ἐγκαρτεροῦντες, καὶ τοσαύτην γενναιότητα ἑαυτοῖς περιποιοῦντες, ὥστε ῥᾳδίως τὰ πάντα καταδαμάζειν ἐν τῷ βίῳ. Ἔτι δ' ἄλλος ἐπ' ἄλλην δύναμιν μεῖζον ἰσχύει· ὁ μὲν γὰρ ἐθισθεὶς μόνον σκέπτεσθαι ῥᾳδίως ἐπὶ τῶν διανοημάτων αὐτοῦ, ἴσως ἂν κράτος ἔχοι ἀκροσφαλὲς ἐπὶ τῶν ἰδίων παθῶν ἀναφριασσόντων ποτέ. Ὁ δὲ τῶν μὲν παθῶν ἰσχυρῶς ἄρχει, οὐ πέφυκε δ' ἐφιστᾷν τὴν διάνοιαν ἐπὶ μίαν τινὰ ὑπόθεσιν. Ἕτεροι δὲ οὐδὲν ἀλλ' ἢ τοὺς δακτύλους αὐτῶν στρέφειν οἷοί τε καθ' ἃ βούλονται. Ἔτι δὲ καὶ διὰ τοῦ χρόνου καὶ πολλάκις ἐν ἀκαρεῖ ἡ δύναμις τῆς βουλήσεως ἐπιτείνεται ἢ ἀνίεται παρὰ τῷ αὐτῷ ἀνθρώπῳ· νῦν μὲν γὰρ χαύνη οὖσα καὶ ἀνειμένη, νῦν δὲ δραστηρία καὶ σύντονος, συμμεταβάλλει ὁμοίως καὶ τὴν ὑπ' αὐτῆς χαρακτηριζομένην προσωπότητα.

§. 326. « Ὅταν δ' ὁ ἄνθρωπος ὑπέργηρως γένηται, συνήθως ἐπαναπίπτει εἰς τὰ αὐτὰ, ὅθεν καὶ ἤρξατο, τουτ. εἰς τὸν ἀπρόσωπον βίον τὸν προφαινόμενον ἐν τῷ νηπίῳ πρὸ τῆς βουλήσεως, ὡς μαρτυρεῖ καὶ τὸ κοινῶς λεγόμενον· *ἀνανηπιεύεται ὁ γέρων*, ἢ *πάλιμπαις ἐστίν*. Ἐξαδυνατεῖ γὰρ κατ' ὀλίγον τὰ μέγιστα ἡ προσωπικὴ δύναμις· ἡ γὰρ βούλησις οἷον ἀποκαμοῦσα ἐκ τῆς μακροβίου ὑπηρεσίας, ἀποτίθεται τὸν πολύμοχθον τοῦτον φόρτον περὶ τὴν δείλην τοῦ βίου, καὶ οἷον κατανυστάζουσα ἐκδέχεται τοῦ θανάτου τὸν ὕπνον. Τὸ γὰρ ἔσχατον γῆρας ἔχει τι κοινὸν πρὸς τὸν ὕπνον ἅμα καὶ τὴν νηπιότητα· ὅτι πάντα ταῦτα μία καὶ ἡ αὐτὴ αἰτία ἐστὶν ὑπὸ τρεῖς διαφόρους μορφὰς καὶ τρόπους, ἡ ἀσθένεια τῆς προσωπότητος, ἄρτι μὲν διϋπνιζομένης ἐν τῷ νηπίῳ, ἀναπαυομένης δ' ἐν τῷ καθεύδοντι, ἀποκεκμηκυίας δ' ἐν τῷ γεροντίῳ.

§. 327. « Ἡ μὲν οὖν ἐξασθένησις τῶν ὀργάνων, ἐπιμοχθοτέραν καθιστῶσα τὴν πρόοδον τῶν λειτουργιῶν, συμβάλλοιτ' ἂν καὶ αὐτὴ πρὸς τὴν τῆς βουλήσεως χαύνωσιν παρὰ τοῖς γεγηρακόσιν· ἀλλ' οὐδεμία ἐστὶν ἀμφιβολία, ὅτι καὶ ἡ βούλησις ἀμοιβαδὸν ἄχρηστος παραμελουμένη, συντελοίη οὐ μικρὸν εἰς τὴν τῶν δυνά-

μεων ἀδράνειαν· ὥσπερ καὶ κατεξουσιάζουσα τῶν ἐν ἡμῖν ἱκανοτήτων, συντείνει τὰ μέγιστα εἰς τὴν αὐτῶν ἄσκησιν, ὡς παραθήγουσα ταύτας καὶ οἱονεὶ ἀναγκαστικῶς καθιστῶσα μᾶλλον εὐτρόφους καὶ λεπτοφυεῖς καὶ κατορθωτικάς. Αἱ γὰρ ἔμφυτοι ἡμῖν δεξιότητες ἀεὶ μέν εἰσιν ἐν κινήσει καὶ ἐνεργείᾳ, εἴτ' ἀσκούμεναι εἴτ' ἀμελούμεναι· ἀλλ' ἀμελούμεναι μὲν ἐξαχρειοῦνται, ἀσκούμεναι δ' ἐπιῤῥώννυνται· αὐτίκα γὰρ αἱ μὲν αἰσθήσεις θαυμασίαν τινὰ λεπτότητα προσκτῶνται παρὰ τοῖς θαμὰ χρωμένοις αὐταῖς πρὸς τὴν τοῦ ἐπιτηδεύματος χρείαν· ἡ δὲ φιλοκαλία, (α) παρὰ τοῖς ἐξ ἐπαγγέλματος καλλιτεχνοῦσιν· ἡ δὲ κρίσις ἢ διανόησις, παρὰ τοῖς φιλοσόφοις· ἡ δὲ φαντασία παρὰ τοῖς ποιηταῖς· τοὐναντίον δὲ παρὰ τοῖς βίον διάγουσιν ὀκνηρὸν καὶ ὑλοπρεπῆ, ὁ λόγος, ἡ φαντασία καὶ ἡ πάθησις τάχιστα καταῤῥέουσι καὶ ἀπανθοῦσιν. Ἀλλὰ καὶ ἡ μεταβατικὴ κίνησις αὔξει μὲν τοῖς θαμὰ περιπατοῦσι, νωθροτέρα δὲ γίνεται τοῖς ἐνοικουροῦσιν, οἷον συμβαίνει τοῖς διακομισταῖς καὶ ταῖς γυναιξίν. Οὕτως οὖν οὐ μόνον ἐξαχρειοῦταί τις, ἀλλὰ καὶ ἀποκτηνοῦται, ὅταν μὴ ἀσκῇ ἐν ἑαυτῷ τὴν μετ' ἐλευθερίας ἐνέργειαν τὴν διακρίνουσαν τὸν ἄνθρωπον ἀπὸ τῶν λοιπῶν αἰσθητῶν κτισμάτων, καὶ ἐξομοιοῦσαν αὐτὸν πρὸς τὸν Θεόν, δι' ὃ καὶ μόνον ἄξιος λέγεσθαι βασιλεὺς τῆς κτίσεως. »

§. 328. Τοσαῦτα οὖν καὶ περὶ τῶν ὁρίων καὶ διαφορωτήτων

(α) Φ ι λ ο κ α λ ί α la sensibilité pour le beau, ἢ le sentiment de beau =ἐπαίσθησις τοῦ καλοῦ, καὶ οὕτως εἰπεῖν ἡ καλλιπάθησις, ἡ ἐν τῷ κάλλει ἔγερσις καὶ ὁρμὴ τοῦ πάθους· ἧς ἐναντίον ἡ ἀφιλοκαλία, ἢ ἀπειροκαλία ἢ καὶ βαναυσία. Ὁ δ' ἐντυγχάνων θαμὰ τοῖς καλλιτεχνήμασιν, ἐμπνέεται καὶ αὐτὸς ἐκεῖθεν καὶ ζωογονεῖ ἐν ἑαυτῷ ὑψηλὰ καλλιπαθήματα. Ἀλλὰ περὶ τούτων ὅρα τὴν ἐ π ι σ τ ή μ η ν τ ο ῦ κ α λ ο ῦ=Aesthetique=Κ α λ λ ι π α θ η μ α τ ι κ ή ν, ἢ ἁπλῶς Π α θ η μ α τ ι κ ή ν (ὅπου παθήματα νοητέον ἐξαιρέτως τὰ ἐκ τοῦ καλοῦ διεγειρόμενα, ἃ καὶ α ἰ σ θ η μ α τ ι κ ὰ καλοῦσί τινες· ὥσπερ καὶ Μ α θ η μ α τ ι κ ὴ ἐπιστήμη ἰδιαιτέρως νοεῖται ἀφ' ἑνὸς εἴδους μαθήσεως. Ἕτεροι δὲ Κ α λ λ ι λ ο γ ί α ν ταύτην ὀνομάζουσι· καὶ ἄλλοι ἄλλως, ὡς ἂν ἕκαστος ἔχῃ φιλοκαλίας καὶ α ἰ σ θ η τ ι κ ῆ ς κ ρ ί σ ε ω ς περὶ τὴν ἑλληνικὴν καλλιέπειαν καὶ ἀκριβολογίαν.) Πρῶτος δὲ ἐπιστημονικώτερον τὰ περὶ τοῦ καλοῦ Κάντης ἐξέθετο, πειρώμενος καὶ τὰς καλὰς τέχνας λογικώτερον κατατάξαι· ἀδύνατον γὰρ τὸν διαλαμβάνοντα περὶ τῆς τοῦ καλοῦ φύσεως, μὴ καὶ περὶ τῶν ἐξ αὐτοῦ παθημάτων τε καὶ τεχνῶν εἰπεῖν· ὥστε ἴσως ἂν τις καλέσειε ταύτην καὶ Κ α λ λ ι τ ε χ ν ι κ ή ν, τουτ. θεωρίαν τῶν κ α λ ῶ ν τ ε χ ν ῶ ν, εἰς ἃς ἐκδηλοῦται τὰ ἐκ τοῦ κ α λ ο ῦ π α θ ή μ α τ α.



τῆς ἀνθρωπίνου ἐλευθερίας, ὑπερεκβάντα πάντως καὶ ἐπὶ τὰ μετὰ ταῦτα, διὰ τὴν ἰσχυρὰν συνάφειαν τῶν προηγουμένων τε καὶ τῶν ἑπομένων. Ἀλλ' οὐδὲν ἡμῖν ταῦτα ἔξω δρόμου ἐστί, τό τε προκείμενον διασαφοῦντα, καὶ εἰς τὰ μετὰ ταῦτα ἱκανῶς προδιατιθέντα.

§. 329. Ε^{ον.} *Δευτέρα δήλωσις τῆς ἐλευθερίας. — Βούλευσις, χαρακτῆρες αὐτῆς.* — Ἀλλὰ τὸ *αὐτεξουσιάζειν*, τουτ. ἐγκρατεύεσθαι, ἐπέχειν κτλ. ἐμφαίνει μὲν καὶ αὐτὸ ἐνεργειάν τινα, οὐκ ἔστι δὲ προχωρεῖν· στάσις δὴ μᾶλλον μετ' ἐνεργείας ἐστὶν ἢ πρόοδος· ἔχει γάρ τι ἡ τοιαύτη κατάστασις ἀδιόριστον καὶ μετέωρον· ὅτι ἔστι μὲν ἐγκράτησις καὶ οἷον χαλίνωσις καὶ ἀναστολὴ τῶν δυνάμεων, χρῆσις δὲ καὶ ἀγωγὴ ἢ κατεύθυνσις οὔπω. Πῶς οὖν ἐκ τῆς *κυριεύσεως* μεταβαίνει ἐπὶ τὴν *διαχείρισιν* τοῦ ἐνεργητικοῦ; τὸ γὰρ ἐγρηγορεῖν καὶ τὸ ἐγκρατεύεσθαι καὶ τὰ τοιαῦτα ἐνεργήματα μὴ ὄντα αὐτοτελῆ, πρὸς ἕτερόν τι ἀναγκαῖόν ἐστιν ἀποτελευτᾶν· ἀλλὰ πρὶν ἢ προχωρήσῃ, τῶν πρὸ ὁδοῦ ἐστι προειδέναι ποῦ πορεύσεται· τίνος ἄρ' αὐτῇ δεῖ, ἵνα διορίσῃ τὴν ἑαυτῆς πορείαν τὴν ἄγουσαν πρὸς τὸ οἰκεῖον τέρμα, τοῦτο μαθήσεται· ζητεῖ οὖν τὴν ὁδὸν ταύτην πανταχόθεν περισκοποῦσα καὶ ἐξιχνεύουσα, ταὐτὸν εἰπεῖν *βουλεύεται.* (α)

(α) Ὅρ. Περὶ βουλεύσεως Ἀριστ. Ἠθικ. Νικομ. Βιβλ. Γ. γ'. « Ἀλλ' ὅσα γίγνεται δι' ἡμῶν, μὴ ὡσαύτως δὲ αἰεί, περὶ τούτων βουλευόμεθα . . . Τὸ βουλεύεσθαι δὲ ἐν τοῖς ὡς ἐπὶ τὸ πολύ, ἀδήλοις δὲ πῶς ἀποβήσεται, καὶ ἐν οἷς ἀδιόριστον . . . Βουλευόμεθα δὲ οὐ περὶ τῶν τελῶν, ἀλλὰ περὶ τῶν πρὸς τὰ τέλη· . . . ἀλλὰ θέμενοι τέλος τι, πῶς καὶ διὰ τίνων ἔσται σκοποῦσι· καὶ διὰ πλειόνων μὲν φαινομένου γίγνεσθαι, διὰ τίνος ἄριστα καὶ κάλλιστα ἐπισκοποῦσι· δι' ἑνὸς δ' ἐπιτελουμένου, πῶς διὰ τούτου ἔσται, κἀκεῖνο διὰ τίνος, ἕως ἂν ἔλθωσιν ἐπὶ τὸ πρῶτον αἴτιον, ὃ ἐν τῇ εὑρέσει ἔσχατόν ἐστιν· ὁ γὰρ βουλευόμενος ἔοικε ζητεῖν καὶ ἀναλύειν τὸν εἰρημένον τρόπον, ὥσπερ διάγραμμα· (φαίνεται δὲ ἡ μὲν ζήτησις οὐ πᾶσα εἶναι βούλευσις, οἷον αἱ μαθηματικαί· ἡ δὲ βούλευσις πᾶσα ζήτησις·) καὶ τὸ ἔσχατον ἐν τῇ ἀναλύσει πρῶτον εἶναι ἐν τῇ γενέσει. Κἂν μὲν ἀδυνάτῳ ἐντύχωσιν, ἀφίστανται . . . ἐὰν δὲ δυνατὸν φαίνηται, ἐγχειροῦσι πράττειν . . . » Καλῶς, οἶμαι, ποιήσας, ἐχρησάμην αὐτῆς ταῖς παρενθέσεσιν ἀνωτέρω, μὴ ὑπαρχούσαις ἐν τῷ κειμένῳ. Ἴσως δ' ὁ Φιλόσοφος οὐχ οὕτως ἐστὶν ἀκριβής, περιορίζων τὴν βούλευσιν ἐπὶ τῶν μέσων μόνον· πολλάκις γὰρ πρόκειται διορίσαι καὶ τὸ τέλος, ἐφ' ὃ χωρήσομεν· καί τοι τὰ μεταξὺ τέλη οἷον ἀνάπαυλαί τινές εἰσι πρὸς τὸ τελικώτατον τέλος, ὃ εὐθὺς κατοπτεύομεν, καὶ τοῦτο βούλεται λέγειν ἴσως Ἀριστοτέλης. Ἀναγνωστέον δὲ καὶ τὸ δ'. Κεφ. τὸ περὶ Βουλήσεως.

§. 330. Τὸ δὲ *βουλεύεσθαι* νοήσεώς ἐςιν ἔργον, πολύπλοκον καὶ πολυσύνθετον, ὅπου εὕροι τις ἂν πάντας τοὺς προεκτεθειμένους τῆς διανοήσεως τρόπους· ἀλλ' ἡμεῖς ἀρκεσθησόμεθα ἤδη τῇ καθόλου καὶ περιληπτικῇ ἐννοίᾳ τοῦ ἐνεργήματος, παρατρέχοντες τὴν εἰς τὰ ἴδια στοιχεῖα ἀνάλυσιν αὐτοῦ ὡς περιττήν. Ἄρχεται οὖν ὁ βουλευόμενος ἀπό τινος περισκοπήσεως τῶν τε διαφόρων τελῶν, τῶν τε διαφόρων ὁδῶν τῶν ἀγουσῶν πρὸς ἕν τι τέλος, διακρίνων αὐτὰ καὶ διασταθμώμενος, καὶ δὴ καὶ ἀντιπαραβάλλων πάντα πρὸς ἄλληλα, καὶ ἐκθλίβων μὲν τὰ χείρω, ἀσπαζόμενος δὲ τελευταῖον τὸ κάλλιστον δόξαν· οὗτος γάρ ἐστιν ὁ ἔσχατος ὅρος τῆς βουλεύσεως, ἐν ᾧ ἀποφαίνεταί τις πεποιθότως, πρὸς τί καὶ διὰ τίνος χωρήσει. Ἀλλὰ χωρὶς τοῦ τρόπου, καθ' ὃν βουλεύεταί τις νῦν μὲν μετὰ φρονήσεως καὶ ἐμβριθείας καὶ λόγου, νῦν δὲ μετ' ἀφροσύνης καὶ κουφότητος καὶ μανίας, πρὸς τρία τινὰ διάφορα τελευτήσει ἡ τῆς βουλεύσεως ἐργασία.

§. 331. Ἡ γὰρ α΄. καταντήσει εἰς πεποίθησίν τινα ἀδιάσειστον καὶ ἀμφίβολον, ἣ καὶ αὐτή, εἰ μή τις ἐπαναλάβοι τὴν βούλευσιν διὰ πλείονος χρόνου καὶ μείζονος ἐπιμονῆς, παρορμᾷ μὲν εἰς ἐνέργειαν καὶ ῥυθμίζει πως τὴν βούλησιν, ἀσθενῶς μέν τοιγε καὶ ἀνισχύρως· ἢ β΄. πίστιν ἕξει περὶ τοῦ δόξαντος τέλους ἢ τρόπου ἀδιάσειστον μὲν οὔ, ἰσχυροτέραν δὲ καὶ μᾶλλον ὡρισμένως ῥέπουσαν πρός τι· ἢ γ΄. προσφύεται μετὰ πεποιθήσεως ἀκλονήτου ᾧ κατενόησεν ὡς ἀμεταβλήτῳ κανόνι τῆς τοῦ βίου διαγωγῆς, καὶ ὁλοψύχως τῇ ῥοπῇ παραδίδοται ταύτῃ. Τρία οὖν μάλιστα ἐπαλλάσσει καὶ διακρίνει πᾶσαν ἀποτελεύτησιν τῆς βουλεύσεως, τὸ *ἀμφίβολον*, τὸ *πιθανόν*, καὶ τὸ *ἔμπεδον*.

§. 332. ϛ$^{η}$. *Τρίτη δήλωσις τῆς ἐλευθερίας. — Βούλησις καὶ χαρακτῆρες αὐτῆς.* — Ἡ μὲν ἐγκράτευσις γίνεται, ἵνα ἐπέλθῃ ἡ βούλευσις· ἀλλ' οὐδεὶς βουλευόμενος καὶ ἀποφαινόμενός τι, ἐν αὐτῷ τούτῳ περιορίζεται, ἀνενέργητος τὸ λοιπὸν διαμένων· οὐ γὰρ ἀφίκετο εἰς τὸ πέρας τῆς ἐλευθερίας ὁ κατιδὼν καὶ γνοὺς τὸ πρακτέον· λείπεται γὰρ ἑξῆς ἐπιτελέσαι τὸ δόξαν ἄριστον, μεταβάντα ἐκ τῆς σκέψεως ἐπὶ τὴν τελεσιούργησιν. Διὸ καὶ ἅμα τις ἀναπείσας

SISMANOGLIO



ἑαυτὸν περί τινος βεβαιότερον, διορίζει τὴν ἐνέργειαν καὶ τὴν πρᾶξιν συμφώνως τῇ αὐτοῦ πεποιθήσει, καὶ ἀγωνίζεται τὸ πρακτέον εἰς πέρας ἀγαγεῖν· οὕτω γὰρ τὸ δόξαν αὐτῷ διιθύνει ἀεὶ τὴν βούλησιν, ὥστε πᾶν ὅ,τι ἂν βουληθῇ, προέρχεται ἔκ τινος αὐτὸν κατεχούσης ἐννοίας, ἣν ἰσχυρῶς συνείληφεν ὅπως δήποτε προβουλευσάμενος. Μετὰ γοῦν τὴν *σκέψιν*, ἣ ἕπεται τῇ *αὐτεξουσιάσει*, πέφυκεν ἕκαστος διιθύνειν ἑαυτὸν κατὰ τὸ ἐντεῦθεν ἐξαγόμενον, *ἀποφασίζειν* (α) οὕτως εἰπεῖν καὶ βούλεσθαι. Τὸ γὰρ βούλεσθαι ἐπιχειρεῖν ἐστι τρέπεσθαι τὴν βελτίστην κριθεῖσαν ὁδόν, ἢ κατατείνειν τὴν ἐνέργειαν πρὸς τὴν πρόθεσιν· ταὐτὸν εἰπεῖν, διορίζειν καὶ στρέφειν καὶ κινεῖν ἑαυτὸν πρὸς τὸ ἔργον. Ἐνταῦθα τοίνυν οὐχ ἁπλῶς δεχόμεθα ἑτέρωθεν στροφήν τινα καὶ διεύθυνσιν ἐνορμῶσαν καὶ ἀναγκαστικήν, ἀλλ' αὐτοὶ ἑαυτοὺς παρορμῶμεν καὶ ἀφίεμεν ὡς αὐταρχοῦντες καὶ προβεβουλευμένοι, χρώμενοι ταῖς ἐν ἡμῖν δυνάμεσι πρὸς ἐκτέλεσιν διανοήματός τινος.

§. 333. Ὥσπερ δὲ ἡ κρίσις, εἰς ἣν ἀποτελευτᾷ ἡ βούλευσις, ἐστὶν ἢ ἀμφίβολος, ἢ πιθανή, ἢ βεβαία, ὡσαύτως καὶ ἡ βούλησις ἓν καὶ τὸ αὐτὸ ἐκείνῃ ἐκ τῶν τριῶν τούτων γνωρισμάτων ἀποίσεται. Ὁ γὰρ βουλόμενός τι, πιστεύει τοῦτο· ὥσπερ δὲ πιστεύει, οὕτω καὶ βούλεται· ἀλλὰ νῦν μὲν εἴτε δικαίως εἴτ' ἀδίκως πιςεύει ἐπιψαύδην καὶ ἀκροθιγῶς τοῖς δεδογμένοις· διὸ καὶ πρὸς τὴν πρᾶξιν βραδυκινήτως χωρεῖ καὶ μετ' εὐλαβείας καὶ ἀδρανῶς, ἐφιστάμενος αἴφνης ὑπὸ τῶν ἐλαχίςων κωλυμάτων, καὶ ἴσως καὶ ἐπανακάμπτων

(α) Ἀποφασίζειν ἐστὶ τὸ γαλλ. se resoudre=γνώμην ἀποφαίνεσθαι, ἢ se determiner=διορίζεσθαι, διωρισμένον τι προαιρεῖσθαι. Οὕτω καὶ Ἀπόφασις ἀποδίδωσι τὸ resolution, determination, οἷον ἀπόφανσις οὖσα. Προειλόμεθα δὲ τὴν λέξιν ταύτην, ὡς ἄμεινον καὶ ἐκφραστικώτερον μεθερμηνευούσης τὸ γαλλικόν· ἡ δὲ δόξα κρίσις μᾶλλόν ἐστι περὶ τοῦ ἀληθοῦς ἢ ψευδοῦς, ἀλλ' οὐ περὶ τῆς ἀγαθῆς ἢ κακῆς πράξεως, ὡς λέγει καὶ Ἀριςτ. Ἠθικ. Νικομ. Βιβλ. Γ. β. « Οὐδὲ δὴ δόξα ἂν εἴη· ἡ μὲν γὰρ δὴ δόξα δοκεῖ περὶ πάντα εἶναι, καὶ οὐδὲν ἧττον περὶ τὰ ἀΐδια καὶ τὰ ἀδύνατα, ἢ τὰ ἐφ' ἡμῖν· καὶ τῷ ψευδεῖ καὶ ἀληθεῖ διαιρεῖται, οὐ τῷ ἀγαθῷ καὶ τῷ κακῷ· ἡ δὲ προαίρεσις τούτοις μᾶλλον. » Μετιτέον δὲ καὶ ὅλον τὸ κεφάλαιον, ὅπου ὁ Φιλόσοφος διορίζειν πειρᾶται τί προαίρεσις· ἴσως γὰρ ἂν εἴη αὕτη ἡ ἐνταῦθα βούλησις· εἰ καὶ ἀνωτέρω λέγει· « Ἔτι δ' ἡ μὲν βούλησις τοῦ τέλους ἐστὶ μᾶλλον· ἡ δὲ προαίρεσις τῶν πρὸς τὸ τέλος . . . »

ἐν τῷ μεταξύ· ὅταν γὰρ ἀβέβαιος ᾖ καὶ οἷον *ἀναποφάσιστος*, πῶς ποτε μετ' ἐπιμονῆς καὶ ζήλου τῆς πράξεως ἅψεται; δεῖ γὰρ ἀεὶ ἀφορμῆς τινος ἱκανῆς πρὸς τὴν ἀρετὴν καὶ τὴν ἀνδρείαν καὶ τὴν ἐργασίαν· ἡ δ' ἀμφιβολία σκιὰ γνώμης πλανωμένη καὶ εὐμετάβολός ἐστι, μηδαμῶς διεγείρουσα καὶ ἐμψυχοῦσα εἰς ἐλεύθερόν τινα διορισμὸν, ἀλλὰ πνοὴν ἀβληχρὰν καὶ ἐκλείπουσαν ἐμφυσῶσα καὶ ὤθησιν ἀγενῆ ἐντιθεῖσα. Ὅπου γὰρ ἂν τύχῃ εἰσφθαρεὶς ὁ πρακτικὸς πυῤῥωνισμὸς, ἐκεῖ ἡ βούλησις οἴχεται· ἅμα γὰρ συνισταμένην καὶ φυομένην λυμαίνεται· ἅμ' ἀναζωπυρουμένην ἀποσβέννυσιν· ἅμ' ἐμψυχουμένην κτείνει καὶ ἀπόλλυσιν· οὐδεὶς γὰρ ἐπ' ἀδήλοις ἔργοις ἐθέλει πονεῖσθαι, περὶ ὧν τῆς ἀξίας οὐδαμῶς ἑαυτὸν ἀναπέπεικε.

§. 334. Πᾶς τις δ' ἔχει οἴκοθεν τὴν πεῖραν τῶν τοιούτων ἀβεβαίων *ἀποφάσεων*, ἔνθα χαύνως ἐγχειρῶν οὐδὲν ὅ τι καὶ ἄξιον κατορθοῖ, καὶ οὐδὲν διανόημα εἰς πέρας ἄγει. Νόσος δὲ αὕτη κακίστη, λυμαινομένη τὴν ψυχὴν τοῦ ἀνθρώπου, ἀγενῆ τε καὶ ἀπαθῆ καθιστῶσα καὶ ἄθυμον, καὶ τὴν ἠθικὴν ἀξίαν παντελῶς διαφθείρουσα. Οἴκτου ἄξιοί εἰσιν, ὅσοι πᾶσαν πίστιν καὶ πεποίθησιν ἀπέβαλον· ὅτι καὶ προαιρέσεως καὶ βουλήσεως οἱ τοιοῦτοι ἀμοιροῦντες, οὐδεμίαν ἀρετὴν ἐξανύουσι. Βλάπτει μὲν οὖν καὶ τοὺς καθ' ἕκαστον ἡ τοιαύτη ἀκηδία· βλάπτει δὲ πολλῷ μᾶλλον καὶ τὰ ἔθνη τὰ νοσοῦντα τὴν τοιαύτην ἠθικὴν ἀνανδρίαν, καὶ ἄρδην αὐτὰ καταστρέφει· ὁ γὰρ πρὸς οὐδὲν τέλος ἀφορῶν, καὶ μηδεμίαν ὁδὸν ἐν τῷ βίῳ προαιρούμενος, βούλησιν οὐκ ἔχει καὶ οὐδὲν ἐπιχειρεῖ· οὐδὲν γὰρ αὐτῷ διαφέρει, καὶ οὐδὲν ἐπικεῖσθαι αὐτῷ καθῆκον νομίζει· ὅτι τὸ συνειδός οἱ διέφθορε καὶ ἀπονενέκρωται. Ὅταν γὰρ ἔν τινι κοινωνίᾳ ὁ τοιοῦτος δισταγμὸς κατανείμηται πάντα, τήν τε καλλιτεχνίαν καὶ τὴν θρησκείαν, τήν τε βιομηχανίαν καὶ τὴν πολιτικὴν, οὐδενὸς τῶν ἐμψυχούντων καὶ διεγειρόντων εἰς μεγαλεπήβολα ἔργα φεισάμενος, ἐγγύς ἐστιν ὁ ὄλεθρος αὐτῇ, ἡ γοῦν ἀνακαίνισίς τις ἐκ θεμελίων ἐπαπειλεῖται μετὰ βιαίας τῆς ῥήξεως. Μάρτυς δ' ἀξιόχρεως τῶν λεγομένων ἐστὶν ἡ ἱστορία· τὰ γὰρ ἔθνη τὰ *μὴ βουλόμενα* ἢ ὑποκύπτει τῷ ζυγῷ τῶν *βουλομένων*, ἢ σώζεται μὲν τέλος ἐκ τῆς χαυνότη-



τος ταύτης, ἀλλὰ σφαγῶν καὶ συμφορῶν μεγίστων πειρώμενα. (α) Καὶ ταῦτα μὲν περὶ τῆς ἀμφιῤῥεποῦς βουλήσεως.

§. 335. Περὶ δὲ τῆς βουλήσεως τῆς διεγειρομένης ἐκ δόξης τινὸς πιθανῆς, μακρῶν λόγων χρεία οὐκ ἔστιν· ὅτι τὸν μέσον ὅρον ἔχει μεταξὺ τῆς ἀσθενοῦς βουλήσεως, ἣν ἡ ἀμφιβολία γεννᾷ, καὶ τῆς ἀκλονήτου βουλήσεως, ἣν ἡ βεβαιότης παράγει. Οὔτε γὰρ ὡς ἐκείνη κυμαίνεται ἀνακοπτομένη ἐκ τοῦ τυχόντος ἐμποδίου, καὶ πάσῃ οἱᾳδήποτε προσβολῇ ἐνδιδοῦσα, καὶ ὑπὸ παντὶ ἀνέμῳ σαλευομένη· ἀλλ' ἔχει τινὰ παγίωσιν καὶ ἐπιμονὴν καὶ διάρκειαν, ἀρκούντως ὠφελοῦσα εἰς τὸν συνήθη ῥοῦν τῶν τοῦ βίου πραγμάτων. Οὔτε ὡς αὕτη ἀμφιβέβηκεν ἀνθισταμένη καὶ ἀντιπαλαίουσα ἀνένδοτος καὶ ἀκαταμάχητος πρὸς πᾶσαν ἐπήρειαν· ἀλλ' ὑποκύπτει ταῖς ἰσχυραῖς ἐμβολαῖς καὶ δυσχεραίνει πρὸς τοὺς τραχεῖς πειρασμούς· εἴη μὲν γὰρ ἂν κατορθωτικὴ τῆς ἀρετῆς, εἰμὴ μέλλοι διὰ μακρᾶς καὶ χαλεπῆς μάχης διιέναι· ἀλλ' οὐκ ἂν γένοιτο ἡρωϊκὴ καὶ μεγάθυμος, οἵα θαυμάζεσθαι ἐπὶ ἀνδρίᾳ καὶ γενναιότητι. Τοιούτῳ δὲ τρόπῳ βούλονται πολλοὶ ἄνδρες καλοὶ κἀγαθοὶ, ὀρθόφρονες μὲν ὄντες, ἀλλ' οὐκ ἔχοντες φρόνημα ἀστεμφὲς καὶ ἀμετάσειστον, ὃ ἀληθὲς ὂν καὶ ὑψηλὸν τοὺς γεννάδας καὶ καρτερόφρονας χαρακτηρίζει.

§. 336. Καὶ κοινωνία δέ τις οὕτω διακειμένη, κακῶς μὲν οὐκ ἔχει, ὡς περὶ πολλοῦ ποιουμένη τὴν τάξιν καὶ εὐνομίαν, καὶ οὔτε πρὸς τὴν ἄσκησιν τῶν πολεμικῶν ἔργων, οὔτε πρὸς τὴν ἀπόκρουσιν τῶν ἀλλοτρίων ἀποδυσπετοῦσα, τοῦ μὲν κινδύνου ποτ' ἐπιστάντος βαθέως αἰσθανομένη, τῆς δ' ἐλευθερίας καὶ τῆς τῶν ὅλων σωτηρίας μετὰ πάσης τῆς προθυμίας ἀντιποιουμένη· οὐκ ἔσται δ' ἔθνος ἐῤῥωμένον, ἐκλεκτὸν καὶ προωρισμένον ἐπὶ μεγάλας ἐπιχειρήσεις καὶ

(α) Κρίσις λέγεται αὕτη, ἡ κρίσιμος περίστασις· οὕτω καὶ τὸ σῶμα νοσῆσαν ἢ φθείρεται, ἢ αἴφνης σώζεται, τῆς φύσεως ἀντιδρασάσης γενναίως. Ἀλλὰ καὶ ἡ ψυχὴ, ὅταν εἰς τὸ ἔσχατον περιπέσῃ τῆς ἠθικῆς διαφθορᾶς, ἢ ἐξαχρειοῦται παντάπασιν, ἢ αἴφνης αὐτὸ τὸ μέγεθος τοῦ κακοῦ παραίτιον γίγνεται ἀντιδράσεως σωτηρίου· τὸ αὐτὸ οὖν συμβαίνει καὶ τοῖς ἔθνεσιν, ἢ διαλυομένοις ἀγενῶς καὶ φθίνουσιν ἀφιλοτίμως, ἢ αἰσθανομένοις τε τῆς οἰκτρᾶς αὐτῶν καταστάσεως, καὶ θυμοῦ καὶ μένους πρὸς τὴν ἀρετὴν ἐμπιπλαμένοις.

τοιοῦτον, ὃ κάτοχον ἐξ ἐννοίας τινὸς ἅπαξ σπουδαίας γενόμενον, τίνος οὐχ ὑπὲρ αὐτῆς ἀφειδεῖ, ζῶν καὶ ἀναπνέον πρὸς οὐδὲν ἕτερον ἢ τὴν ἀγαθὴν ἔκβασιν τῶν μόχθων αὐτοῦ; Τοῦτο δήπου ἀπόκειται τοῖς νεάζουσιν ἢ ἀνηβῶσι τῶν ἐθνῶν, καὶ τοσούτου ἐνθουσιασμοῦ ἐμπεπλησμένοις, ὥστε μὴ ἔχειν ἐφησυχάζειν καὶ ἀναπαύεσθαι ἄλλως, ἢ ἐν τῷ θριάμβῳ καὶ τῇ κατορθώσει τοῦ ἐπιχειρήματος, καὶ θνήσκοντα, εἰ δεῖ, μετὰ καρτερίας καὶ γενναιότητος ἀξιοθαυμάστου. Τοσαῦτα δὴ καὶ περὶ τῆς συνήθους βουλήσεως.

§. 337. Ὅταν δ' ἡ βούλησις γεννᾶται ἐκ πεποιθήσεως πληρεστάτης καὶ ἀμεταβλήτου, ἀμετάβλητος οὖσα καὶ αὐτὴ, οὐ κάμπτεται οὐδ' ὑποχωρεῖ οὐδὲ ταλαντεύεται· κρείττων μὲν γὰρ δύναμις ἀντιστρατευομένη ἵστησι πολλάκις αὐτὴν καὶ κωλύει· ἀλλὰ καὶ οὕτως ἀκατάπτωτος διαμένουσα, νῦν μὲν ἐκ τοῦ συστάδην καὶ ἐκ τοῦ προφανοῦς ἀντιπροσβάλλουσα, νῦν δὲ λάθρα καὶ ἐξ ὑπονόμου ἀντιμηχανωμένη, νῦν δὲ καὶ τὸ πολέμιον εἰς φιλίαν προσαγομένη, αἱρεῖται τελευτῶσα τὴν νίκην καὶ τοῦ ἐξ ἀρχῆς ἐπιτυγχάνει σκοποῦ· (α) σπανιώτατα γὰρ ἡ τοιαύτη βούλησις ἀτελεσφόρητος ἐξελέγχεται· ἡλίκον γὰρ ὁ ἄνθρωπος οὐκ ἰσχύει, ὅταν σύμπασαν τὴν διάνοιαν ἐνί τινι πράγματι ἐπιστήσῃ, καὶ σφόδρα βούληται καταπράξασθαί τι. Ἐκ γὰρ τῆς τοιαύτης καρτεροψυχίας οὐ μόνον καταθριαμβεύει τῶν ἄλλων ἀνθρώπων, συνταράττων αὐτοῖς τὴν διάνοιαν καὶ καταβάλλων τὴν δύναμιν· ἀλλὰ καὶ αὐτοῦ τοῦ ἰδίου σώματος κατεξουσιάζει, περιποιῶν αὐτῷ ἀρετὰς οὕτω ξένας καὶ ἀήθεις, ὥστε φέρειν μὲν ἀλγηδόνας ἀφορήτους καὶ ἀνηκούστους, ζῆν δὲ τρόπον τινὰ παρὰ φύσιν, καταγοητευόμενον καὶ ἔξαλλον γινόμενον διὰ τῆς ἐκστάσεως. Ἀλλὰ καὶ ὡς πρὸς τὴν ὕλην ἡλίκον δύναται ἡ ὀρθὴ ἅμα καὶ καρτερὰ βούλησις, προσεταιριζομένη ἢ προσαγομένη καὶ ἑτέρας βουλήσεις καὶ κατὰ κράτος αὐτὰς διϊθύνουσα· ὅσα γὰρ θαύματα ἡ φιλεργὸς βιομηχανία τεκταίνεται, ἐκ τῆς τοιαύτης ἀόκνου καὶ ἀκαμάτου βουλήσεως προϊόντα.

(α) Περὶ τῶν οὕτω βουλομένων εἴποι τις ἂν ὃ λέγει Ἀριστοτ. περὶ τῶν ἐπιεικῶν καὶ εὐσταθῶν ἐν τῇ φιλίᾳ τῇ πρὸς ἀλλήλους· «Τῶν τοιούτων γὰρ μένει τὰ βουλήματα, καὶ οὐ μεταῤῥεῖ, ὥσπερ Εὔριπος.»

SISMANOGLIO



§. 338. *Η πίστις ὄρη μεθίστησιν*· εἴη μὲν αὕτη καὶ μεταφορὰ ποιητικωτέρα, ὅταν τις οὐ κατὰ γράμμα νοῇ τὸ λεγόμενον· ἀλλ' ἅμα καὶ πιστὴ δήλωσις τῶν μεγαλουργημάτων ἐστὶν ὅσα ἐποίησεν ὁ ἄνθρωπος ἐν τῇ φύσει, πίστεως εὐμοιρῶν ἀδιασείστου καὶ ἐνθέρμου, ἐξ ἧς μακρὰ καὶ πολυχρόνια καὶ διαρκῆ ἀναφύεται τὰ βουλήματα. Τὰ γὰρ παντοῖα καὶ ἐξαίσια τῆς πολιτικῆς ὑπομνήματα, καὶ τῆς θρησκείας, καὶ τῆς βιομηχανίας, καὶ τῆς καλλιτεχνίας, πρὸς ἃ ὡς θεότευκτα μᾶλλον ἢ ἀνθρώπινα ἐξιστάμεθα, ταῦτα οὐχ ἁπλῶς καὶ ὡς ἔτυχε τεθαυματούργηται, ἀλλ' ἀνδρεία βούλησις καὶ πολυετὴς ὑπεστήριζε, δι' ὅλων αἰώνων μεταδιδομένη τοῖς ἀεὶ γιγνομένοις, ἐμψυχουμένη τε καὶ ἀναζωουμένη ὑπό τινος μεγάλης καὶ ἀειθαλοῦς καὶ βαθυῤῥίζου ἐννοίας.

§. 339. Πόθεν γὰρ φυλαί τινες θυμοειδεῖς καὶ ἐπίμονοι, κατὰ διαφόρους ἐποχὰς τοῦ βίου αὐτῶν, μακρὰς μὲν μετοικήσεις, ἐπιδρομὰς δ' ἰσχυρογνώμονας, πολέμους δ' ἀσπόνδους καὶ ἀδιαλλάκτους ἀναλαμβάνειν ἐπιχειροῦσι; Πόθεν αἱ μεγάθυμοι ἀντιστάσεις καὶ ἄμυναι καὶ αἱ τοσάκις ἐπαναληφθεῖσαι μάχαι, μυρία μὲν ἄλγη ἐπενεγκοῦσαι, ἀλλὰ μετὰ θυμοῦ ἀμειλίκτου καὶ ἀτεράμονος συγκροτηθεῖσαι; Πόθεν αἱ μεγαλεπήβολοι ἐπιχειρήσεις, αἱ μακραὶ καὶ ἀδιάκοποι στρατηλασίαι καὶ κατακτήσεις, καὶ αἱ διὰ πόνων ἀτρύτων καὶ πολυχρονίων προσγινόμεναι αὐτοκρατορίαι; Πόθεν τοῖς ἀνθρώποις ἡ τοσαύτη ἐπιμονὴ πρὸς τὸ φυλάξασθαι μὲν τὰ ἐνόντα ἀγαθὰ, μεγάλους δ' αὐξηθῆναι ἐκ τῆς τῶν ἀπόντων ἀεὶ προσκτήσεως; Πάντως γε ἐκ τῆς *καρτεροψυχίας*, τουτέστι τῆς ἐμψύχου πίστεως καὶ τῆς ἀκλινοῦς καὶ ἀῤῥεποῦς βουλήσεως. Ὥσπερ γὰρ τὰ διεφθαρμένα τῶν ἐθνῶν οἴχεται καὶ ἀποφθίνει ἐκ τῆς τοῦ ἤθους χαυνότητος, οὕτως ἐκ τοῦ ἐναντίου τὰ θάλλοντα καὶ μακρὸν ἀκμάζοντα χρόνον, φρονήματός ἐστιν ἔμπλεα, καὶ γνώμην ἰσχυρὰν καὶ ἀμετασάλευτον ἔχει. Τὸ αὐτὸ δὲ συμβαίνει καὶ τοῖς καθ' ἕκαστον ἀγαθοῖς καὶ σπουδαίοις ἀνδράσιν, ἐναργῶς μὲν καὶ πεποιθότως καθορῶσι πρὸς τί δεῖ συντείνειν, σφόδρα δὲ καὶ δραστηρίως βουλομένοις ἐπιτυχεῖν τοῦ σκοποῦ· καὶ ἑνὶ λόγῳ εἰπεῖν, ὁσάκις ἂν ὁ ἄνθρωπος παρακινῆται εἴς τινα πρᾶξιν ὑπ' ἀφορμῆς ἰσχυρᾶς

καὶ εὐλόγου, προθύμως ἅπτεται ταύτης καὶ μετ᾽ ἐπιμονῆς.

§. 340. Οὗτοι μὲν οὖν εἰσιν οἱ κυριώτατοι χαρακτῆρες τῆς βουλήσεως· ἔστι δὲ καὶ ἑτέρους τινὰς ὑποδεεστέρους ὑποσυνάψαι. Ἡ γὰρ βούλησις παρακολουθοῦσα ἀεὶ τῇ δόξῃ, ὅθεν προκύπτει, νῦν μὲν κατ᾽ ἐπίγνωσιν βαίνει, ὅταν καὶ τὸ κινοῦν ἐκ τῆς σκέψεως προΐῃ· νῦν δ᾽ ἐν ἀγνοίᾳ πορεύεται, ὅταν καὶ τὸ διορίζον αὐτὴν ἐξ ὁρμῆς ἀναφύηται καὶ αὐτοματεῖ ἐν τῇ διανοίᾳ. Αὐτίκα γὰρ τὰ νήπια οὐ μάλα οἶδεν ὅ,τι καὶ βούλεται· οὐ γάρ πω καταδείκνυσι παρ᾽ αὐτοῖς ὁ λόγος, πρὸς τί τέλος χρὴ κατατείνειν· βούλεται δὲ μᾶλλον πιστεύοντα ταῖς προαλεστέραις κρίσεσιν, ἃς αὐτὴ ἡ φύσις ταῖς διανοίαις τούτων ἐνδιεγείρει· σχεδὸν γὰρ ἥκιστα βουλεύεται τὰ νήπια. Εἰσὶ δὲ καὶ πολλοὶ ἄνδρες, οἱ τὰ ἀξιολογώτατα ζητήματα τῆς τέχνης, τῆς πολιτικῆς καὶ τῆς θρησκείας αἰσθάνονται μᾶλλον ἢ ἐπίστανται, κἀντεῦθεν λύσεσιν ἀρκοῦνται οὐ ταῖς ἐξ ἀρχῶν ἀριδήλων συναγομέναις, ἀλλ᾽ ἐξ ἐννοιῶν ἐπιπολαίων καὶ ἀμυδρῶν· ὥστε καὶ οἱ οὕτω διανοούμενοι οὐκ ἴσασι πρὸς τί πράττουσιν, ὅ,τι ἂν πράττωσι, βίον βιοῦντες ἀνεπίσκεπτον καὶ ἀσυλλόγιστον. Μόνοι δὲ οἱ σοφοὶ καὶ φιλόσοφοι, οἱ πάντ᾽ ἐζητηκότες καὶ ἐσκεμμένοι, γινώσκοντες τὸ τέλος πρὸς ὃ κατευθύνονται, καὶ πάσας τοῦ ἐπιχειρήματος τὰς περιστάσεις εἰς βάθος διασμιλεύοντες, τὰ διαβήματα αὐτῶν ἀπαρεγκλίτως καὶ εὐκρινῶς διεξάγουσι καὶ κατ᾽ ἐπίγνωσιν βούλονται.

§. 341. Ἔτι δ᾽ ἡ βούλησις, καίπερ κατὰ τὸ μᾶλλον καὶ τὸ ἧττον μετὰ σκέψεως βαίνουσα, εἴη ἂν ἀληθὴς ἢ πεπλανημένη, ἀμφιλαφὴς ἢ περιωρισμένη, ὑψηλὴ ἢ ταπεινή. Καὶ ἡ μὲν ἀληθὴς προέρχεται ἐκ νοήσεως πιστῶς ἀποδιδούσης αὐτὰ τὰ πράγματα, οὐ μόνον πρὸς ἀληθὲς τέλος σπεύδουσα, ἀλλὰ καὶ τρόποις χρωμένη ἀληθέσιν. Ἡ δὲ ψευδής, ἐκ πλάνης τὴν διάνοιαν ἀμαυρούσης γεννᾶται, οὐ μόνον πρὸς ἀνυπόστατα φερομένη, ἀλλὰ καὶ δι᾽ ἀπάτης καὶ ἀτασθαλίας περιῤῥεμβομένη. Αἱ δ᾽ ἀποφάσεις αἱ ἀμφιλαφεῖς καὶ βαθεῖαι καὶ ἐπὶ μέγα διήκουσαι καὶ ὑπερεκτεινόμεναι, ἐκ διανοίας προΐασιν εὐθὺς μετὰ τὸ πρώτιστον τέλος ἕτερον προορώμεναι, καὶ μετὰ τοῦτο αὖ ἕτερον καὶ οὕτω καθεξῆς



μέχρι τοῦ τελικωτάτου καὶ ἀκροτάτου τέλους, τοῦ σύμπαντα τὸν βίον διέποντος καὶ διιθύνοντος. Οἱ μεγάλοι δ᾽ ἄνδρες οὕτω βούλονται, ὥσπερ Ναπολέων ἐκεῖνος, ἐκ νέας μὲν ζηλώσας ἕνα σκοπὸν, οὐδέποτε δὲ μεταξὺ καταῤῥᾳθυμήσας· ἦν γὰρ αὐτῷ σφόδρα βουλομένῳ περιποιῆσαι τοῖς Γαλάταις τὴν τάξιν καὶ τὴν ἰσχὺν καὶ τὴν εὔκλειαν δι᾽ ἑαυτοῦ μοναρχοῦντος. Καὶ οὗτοι μὲν σπάνιοι οἱ χαρακτῆρες· οἱ δὲ κοινοὶ καὶ συνήθεις οὐκ ἐπὶ μακρὸν σκοποῦσιν, οὐδὲ τὴν γνώμην ἔμμονον ἔχουσι, πρὸς τὸ παρὸν καὶ ἐφήμερον ἀεὶ βλέποντες, τῶν δὲ πρόσω ὀλιγωροῦντες· διὸ καὶ αἱ ἀποφάσεις αὐτοῖς περιωρισμέναι εἰσὶ καὶ ἐπ᾽ ὀλίγον διὰ τοῦ μέλλοντος ἥκουσαι. Εἰσὶ δὲ καὶ βουλήσεις διαπρέπουσαι μεγέθει καὶ ὕψει καὶ ἀρετῇ, κῦδος μέγα φέρουσαι τοῖς ἀνδράσι, τοῖς ὁλοψύχως καὶ καρτερῶς αὐταῖς ἐμμένουσιν· ἕτεροι δὲ τοὐναντίον μικρὰ βούλονται καὶ ταπεινὰ καὶ φαῦλα, αἶσχος ἐκ τούτου καὶ μομφὴν φερόμενοι.

Ταῦτα μὲν οὖν καὶ περὶ τῆς βουλήσεως καθ᾽ ἑαυτήν τε καὶ κατὰ τὰς διαφόρους αὐτῆς ἐπαλλαγὰς θεωρουμένης. Ἀλλ᾽ ἡ ἐλευθερία οὐ συνίσταται μόνον ἐν τῇ *αὐτεξουσιότητι*, τῇ *βουλεύσει* καὶ τῇ *βουλήσει*· προσεῖναι γὰρ δεῖ καὶ τὸ *δύνασθαι* ἢ τὸ *τελεστικὸν*, ὅσον ἡμῖν τοῖς ἀνθρώποις ἐνδέχεται.

§. 342. Ζον. *Τετάρτη πρόεσις τῆς ἐλευθερίας, ἡ δύναμις. Ἐφαρμογαὶ καὶ βαθμοὶ αὐτῆς.*—Ἀλλὰ πρώτιστα πάντων ἴδωμεν, ὅ,τι ποτ᾽ ἐστὶν ἡ *δύναμις*· (α) τὸ σύμπαν πλῆρες μέν ἐστιν οὐσιῶν

(α) Ὁ τέταρτος οὗτος καὶ ἔσχατος βαθμὸς τῆς ἐλευθερίας ἐστὶν ἡ πρᾶξις ἢ τελεσιούργησις, ἢ ἐκτέλεσις κτλ. Ὁ Συγγραφεὺς ὀνομάζει ταύτην pouvoir = ἰσχὺν, δύναμιν. Ἐν δὲ τῷ ἐπιόντι παραγράφῳ διορίζει τὴν λέξιν σαφέστερον. Καίτοι ἡ λέξις δύναμις παρ᾽ ἡμῖν, πολυσήμαντος οὖσα, οὐ μικρὰν ἀσάφειαν ἐμποιεῖ, οὐδεμὴν εὐερμήνευτός ἐστιν ἀεί. Φέρε γάρ μοι ἐξελλήνισον κατὰ λέξιν τὴν φράσιν τήνδε τοῦ Συγγραφέως· « Le pouvoir est une faculté relative, qu'une force a . . . . » ὅ ἐστιν « ἡ δύναμίς ἐστι δύναμις σχετικὴ δυνάμεώς τινος . . . . » ὅρ. §. 343. Σημαίνει δ᾽ ἐνταῦθα τὸ κατορθωτικὸν, ἢ ἀνυστικὸν, ἢ δραστικὸν οὐσίας τινὸς ἐνεργοῦ σχετικῶς πρὸς ἑτέραν τινὰ ἀντενεργοῦσαν. Ὅταν μὲν γὰρ ἐκείνη κατισχύσῃ ταύτης, τότε λέγεται δυνατὴ, ἰσχυρὰ κτλ. ὅταν δὲ τοὐναντίον ὑποκύψῃ τῇ δυνάμει καὶ ἰσχύϊ ταύτης, τότε ἀδύνατος καὶ ἀσθενὴς ἐστι κτλ. Διττὴ δέ ἐστιν ἡ τελεσιουργὸς αὕτη δύναμις, διανοητικὴ καὶ φυσική· ἡ δὲ φυσικὴ λέγεται καὶ κινήτρια δύναμις = force motrisse. Ὅρ. Σχ. §. 347.

ἐνεργῶν· πανταχοῦ δ' ἡ ζωὴ καὶ ἡ κίνησις διαφαίνεται· πάντα γὰρ τὰ ἐν αὐτῷ γινόμενα ἔκ τινος πρόεισιν ἐνεργούσης αἰτίας. Καί ἑκάστη μὲν τῶν οὐσιῶν τούτων πρὸς τὸ οἰκεῖον ἐπείγεται τέλος, ἀλλ' οὐ σύμπασαι κατορθοῦσι τὴν ἐπίτευξιν τοῦ σκοποῦ· ἔνιαι γὰρ καὶ ἐξαπόλλυνται μεταξὺ, ἢ γοῦν εἰς ἀδράνειαν καὶ νέκρωσιν οἴχονται, πρὶν ἢ τὸ ὡρισμένον αὐταῖς ἔργον ἀποπεράνωσι. Τοῦτο δήπου ἡ τῶν πραγμάτων τάξις ἐθέλει, ἣν οὐ δυσχερὲς δικαιῶσαι καὶ κρείττονα πάσης διαβολῆς ἀποδεῖξαι, εἰ περὶ τούτου λέγειν πρόκειτο ἡμῖν ἐνταῦθα· ἀπόχρη δὲ νῦν μόνον ὡς ὁμόλογον δέξασθαι καὶ ἁπλῶς ἀποφήνασθαι αὐτὸ τὸ γιγνόμενον. Ὅσα μὲν οὖν τῶν ὄντων οὕτως ἀτυχεῖ, κωλύμασιν ἐμπλέκεται ἀνυπερβάτοις καὶ ὀλεθρίοις· εἰ μὲν γὰρ μηδὲν ἐμποδὼν ἵστατο, μέχρι τέλους ἂν κατακολουθοῦντα τῇ ῥοπῇ τῆς ἔνδον φύσεως ἐξειλίσσετο κατὰ τὸ αὐτοῖς ἐνδεχόμενον· νῦν δ' ὑφ' ἑτέρων δυνάμεων ἀντιδρωσῶν εἰς ἀδυναμίαν ὑποσκελίζεται· τὰ γὰρ ἀνίσχυρα χείρω εὑρίσκεται παρ' ἑτέροις ἰσχυροτέροις καὶ κρείττοσιν. Ὅσα δὲ τοὐναντίον πᾶσαν τὴν ἐφικτὴν πρόοδον διαπεραίνει, ἢ ὡς ἔγγιστα τοῦ οἰκείου τέλους παραγίνεται, ταῦτα καταθριαμβεύει τῶν ἐπερχομένων ἐνστάσεων ἢ προσβολῶν, καταστρέφοντα τὸ πολέμιον· ἐπεὶ δ' εὐθυδρομοῦντα κατορθοῖ τὸ οἰκεῖον ἔργον, δῆλον ὅτι ἐστὶν ἐν *ἰσχύϊ*.

§. 343. Φανερὸν οὖν ἐκ τῶν εἰρημένων, τί λέγοντες *δύναμιν* ἐνταῦθα νοοῦμεν· ἔστι γὰρ ἡ σχετικὴ ἰσχὺς οὐσίας τινὸς ὡς πρὸς ἄλλας οὐσίας, μεθ' ὧν συζῶσα ἀντιπαλαίει· συνίσταται δ' αὕτη ἐν τῷ τελεσιουργεῖν καὶ περαίνειν τι, ἢ ἐν τῷ ἐφικνεῖσθαι ὡρισμένου τινὸς σκοποῦ· οὐ μέντοιγε κατ' ἀνάγκην ἐλεύθερον ἔσται τὸ τοιαύτης εὐμοιρῆσον ἰσχύος· πλεῖστα γὰρ τὰ οὕτως ἰσχύοντα μὲν, μηδαμῶς δὲ νοοῦντα μηδ' αὐτοκινητοῦντα. Καὶ αὐτὸς δὲ ὁ ἄνθρωπος οὐκ ἔστιν ἰσχυρὸς μόνον ἐν ταῖς μετὰ συναισθήσεως καὶ ἐλευθερίας ἐνεργείαις· πολλάκις γὰρ ὑφ' ὁρμῆς καὶ ἀναγκαιότητος ἐνωθούμενος, οὕτως ἄγαν δραστικός ἐστιν ἐν τῷ πράττειν, ὥστε περαίνειν τὰ χαλεπώτατα διὰ μεγίστης τῆς εὐχερείας· ἴσως δὲ τότε καὶ τελεσιουργότερος ἀναδείκνυται, ὡς τῶν μὲν ἐμποδίων καὶ τῶν κινδύνων τῶν μεταξὺ μηδαμῶς αἰσθανόμενος, ἐπισπεύδων δὲ

SISMANOGLIO



καὶ ἐπεισπίπτων κατ' εὐθυωρίαν πρὸς αὐτὸ τὸ σκοπούμενον ἀνεπισχέτως. Οὕτω γὰρ ἐκ πρώτης κινήσεως ἢ ἐξ ὁρμῆς αὐτομάτου περαίνει ἔργα τεράστια, πρὸς ἃ ὤκνησεν ἂν ἠρέμα καὶ καθ' ἡσυχίαν πανταχόθεν ἐπισκεψάμενος. Ἐντεῦθεν καὶ ἡ φιλοτιμία αἴφνης ἁψαμένη πολλάκις τινὸς καὶ ἐκβαχεύσασα εἰς ἐνθουσιασμὸν, ἥρωα τὸν ἄνδρα ἀριπρεπῆ ἀναδείκνυσιν, ὅπου γε ὁ αὐτὸς οὗτος ὕστερόν ποτε, σωφρονέστερον ἔχων, μόγις ἂν ἐκ μακρᾶς βουλεύσεως καὶ ἐπισκέψεως ἀνεύροι λόγους τινὰς ἀναπείθοντας πρὸς τὸ ἀποσείσασθαι τὸ χαῦνον τοῦ ἤθους καὶ τὸ χαμαίζηλον. Ἐντεῦθεν καί τις ἕτερος ἐξ ἐπιπνοίας καὶ θεόληπτος οἱονεὶ γενόμενος, κατανοεῖ τε ῥᾷστα καὶ ἀποδίδωσιν ἐξαισίως τὴν καλλονήν τινος πράγματος· ὅςγε μοχθῶν ἄλλοτε καὶ σκεπτόμενος, ἔργον τι βραδύτοκον καὶ ἀκλεὲς διὰ τῆς βουλήσεως ἀποτίκτει. Ὁ γὰρ παραφορᾷ τινι ἐκμαινόμενος, διακυβεύει τὴν ἐπιχείρησιν, ἐν μέσῳ κακίας καὶ ἀρετῆς ταλαντευόμενος· κακίας μὲν, ὅτι ἀσθενὲς ἂν εἴη καὶ ἄτακτον καὶ καταςρεπτικὸν τὸ ἀποβησόμενον· ἀρετῆς δὲ, ὅτι ἔντονον καὶ εὔστοχον καὶ ἀρίγνωτον. Ἀλλ' ἐν τούτοις ἡ χρῆσις τῶν ψυχικῶν δυνάμεων οὐδὲν ἀξιόμισθον ἔχει· ὅτι ἀκούσιον καὶ ἀναγκαστὸν τὸ κατόρθωμα· τὸ δ' ἠθικὸν συνεκλείπει καὶ συναφανίζεται τῷ ἑκουσίῳ καὶ τῷ αὐτεξουσίῳ. Τοιαύτη μὲν οὖν ἡ *δύναμις* θεωρουμένη ἄνευ τῆς ἐλευθερίας· ἴδωμεν δὲ νῦν οἵα τίς ἐστιν, ὅταν ᾖ μετὰ τῆς αὐτεξουσιότητος ἢ τῆς βουλήσεως.

§. 344. Ὁ οὖν βουλόμενος ἔργῳ πειρᾶται ἐπιτελέσαι τὸ αὐτοῦ διανόημα, τοὐτὸν εἰπεῖν, ῥητοῦ τινος τέλους ἐφικέσθαι· ἀδύνατον δὲ, ἢν μή τι μέγα κωλύῃ, τὸν σφόδρα καὶ ἐπιμόνως βουλόμενόν τι, μὴ ἐπιχειρῆσαι γοῦν εἰς πέρας ἀγαγεῖν τὸ σκοπούμενον, ὥσπερ καὶ πᾶσα ἄλλη οὐσία ἅπαξ ἐνεργεῖν ἀρξαμένη διατελεῖ τὸ οἰκεῖον ἔργον περαίνουσα καὶ ἀναπτυσσομένη, ὅταν ὑπ' οὐδενὸς παρεμποδίζηται. Διαφέρει δὲ μόνον, (αὕτη δὲ διαφορὰ ἀξιόλογος·) ὅτι ἐνταῦθα ἡ ἐνεργοῦσα οὐσία ἐστὶ ψυχὴ, γινώσκουσά τε καὶ διεξάγουσα τὴν ἑαυτῆς ἐνέργειαν, κἀντεῦθεν ἔχουσα ὅπως ἂν κρείττων ἀναδειχθῇ τῶν ἐνισταμένων καὶ κωλυόντων, τὰ μὲν ἐν συνέσει καὶ σοφίᾳ παρεκκλίνουσα, τὰ δ' ἐξ ἐφόδου κατὰ κράτος καταστρέφουσα·

τὸ γὰρ ὂν τὸ τοιαύτης φύσεως εὐμοιροῦν, μέγα πλεονεκτεῖ τῶν ἀλόγων καὶ ἀπροαιρέτων ὄντων, ὅτι οἴκοθεν ἔχει ἀρύεσθαι δύναμιν αὔξουσαν ἀεὶ καὶ ποικιλλομένην πολυειδῶς. Οὐ γάρ που κατηνάγκασται καθ' ἕνα μόνον τρόπον καὶ καθ' ἕνα μόνον βαθμὸν ποιεῖσθαι τὴν ἐνυπάρχουσαν αὐτῷ δύναμιν, ἀλλὰ διὰ τῆς βουλήσεως πέφυκε μυρίους μεταμείβεσθαι τρόπους· διὸ καὶ κρεῖττόν ἐστι τῶν ὁρμῇ φερομένων καὶ κατ' ἀνάγκην ἁπλῶς ζώντων.

§. 345. Τοιοῦτος δ' ἐστὶν ὁ ἄνθρωπος, ἅμα μὲν ἐκ τῶν ἀναγκαστῶν κινήσεων, ἅμα δ' ἐκ τῶν κατὰ προαίρεσιν πράξεων ἰσχύων· ἀμφοτέρως δὲ δυνάμενος δρᾷν, πολλῷ πάντως ὑπερανέστηκε τῶν μονοτόνως καὶ κατὰ νόμον εἱμαρμένον τινὰ ἐνεργούντων. Ἁπλῶς οὖν εἰπεῖν, ὅταν βούληται, δύναται· τί δὲ καὶ πῶς δύναται; πρὸς μὲν οὖν τὰ ἀντιμαχόμενα τοῖς νόμοις τῆς αὐτοῦ συναισθήσεως καὶ τῶν ὀργανικῶν λειτουργιῶν καὶ τῆς ἔξω φύσεως, πρὸς ταῦτα μὲν ὅλως ἀδυνατεῖ· οὐδὲν γὰρ ἐναντιούμενον τῇ φύσει τῆς τε νοήσεως καὶ τῆς παθήσεως αὐτοῦ ἔχει κατορθῶσαι, οὔτε τὴν σύστασιν τοῦ κόσμου αὐτοβούλως μετασκευάσασθαι· οὐ γάρ ἐστιν ἐπ' αὐτῷ ἀνατρέπειν καὶ λὰξ πατεῖν τὴν ἄνωθεν καθεστῶσαν τάξιν. Ἕως δὲ μένει ἐντὸς τῶν ἀναγκαίων ὁρίων, νῦν μὲν πλείω, νῦν δ' ἐλάσσω δύναται· καὶ νῦν μὲν σφόδρα, νῦν δ' ἀνειμένως, ἐν ὀρθῷ λόγῳ δηλονότι τῆς βουλήσεως καὶ τῆς τῶν ὀργάνων αὐτοῦ καταστάσεως.

§. 346. Πρῶτον μὲν οὖν εἴπωμεν περὶ τῶν ἃ δύναται· ἔπειτα δὲ καὶ περὶ τοῦ ὅσον. Εἰ μὲν οὖν κάτοχός ἐστι τῆς ἐν αὐτῷ νοήσεως, ἐφιστὰς αὐτὴν ὅπου καὶ ὅπως δεῖ, ἐκ τῆς τοιαύτης διανοητικῆς ἐργασίας καὶ συντονίας προκύπτει μάλιστα ἔννοιά τις, ἣν οὐκ εἶχε πρότερον, γνῶσις δηλαδὴ ἢ μνήμη ἢ φαντασία, προϊόντα τῆς ἐπιμελείας καὶ σπουδῆς αὐτοῦ· οὕτω μὲν οὖν γίνεται ἰσχυρὸς καὶ δυνατὸς περὶ τὸ νοεῖν. Εἰ δ' ἔγνω τὴν πάθησιν αὐτοῦ διεξαγαγεῖν, ὀρθῶς διατιμῶν τά τ' ἀγαθὰ καὶ τὰ κακὰ τὰ μέχρι δεῦρο ἁπλῶς οὕτως αὐτὴν διατιθέντα, συμφώνως τῇ περὶ τούτων νέᾳ κρίσει καὶ τὸ πάθος συμμεταβάλλει, ἀδιαφοροῦν μὲν πρὸς ἃ εὗρεν ἀδρανῆ καὶ ἀνύπαρκτα, κινούμενον δὲ κατὰ τὸ μᾶλλον καὶ τὸ ἧττον πρὸς ἃ ἀγαθὰ ἢ κακὰ εἶναι ἀκριβέστερον διασταθμώμενος ὑπεί-

SISMANOGLIO MEGARO



ληφεν. Οὕτως οὖν ἰσχυρὸς ἐνταῦθα δείκνυται οὐχ ἧττον περὶ τὴν πάθησιν ἅμα ἢ τὴν νόησιν.

§. 347. Αὕτη μὲν οὖν ἡ ἐνδόμυχός ἐστι καὶ διανοητικὴ τοῦ ἀνθρώπου δύναμις καὶ ἐπικράτεια· μετὰ δὲ ταύτην ἑξῆς ἔρχεται ἡ φυσική. Ὅταν γὰρ ὁ ἄνθρωπος προβαλεῖν ἔξω βούληται καὶ αἰσθητοποιῆσαι ἢ ἐνσωματῶσαι τὸ ἐν νῷ ὑποκρυπτόμενον, καὶ τὴν διανόησιν καταδεῖξαι διὰ τῆς κινήσεως, ἢ τὰ τῆς συναισθήσεως ἐνεργήματα διὰ τῶν ἐκτὸς πράξεων, ἐκ τῆς *ἀποφάσεως* ταύτης προκύπτει ἡ ὀργανικὴ ἢ φυσικὴ δύναμις. Ἡ δὲ δύναμις αὕτη ἔσται λόγος μὲν καὶ ἑρμηνεία, ἐὰν ἁπλῶς ἐκδηλῶσαι καὶ σημᾶναι βούληται τὸ νοούμενον· μετάστασις δὲ καὶ ἕλξις ἢ ὦσις, καὶ ἀποσύνθεσις ἢ σύνθεσις, ἐὰν κινῆσαί τι ἢ ἕλξαι ἢ ἀπώσασθαι ἢ συνάψαι ἢ διαστῆσαι βούληται. (α)

(α) Ἡ κινητικὴ δύναμις (force motrisse) θεωρεῖται παρά τισι τῶν Ψυχολόγων ὡς τρίτη κυρίως δύναμις, καθ' ἣν ἡ ψυχὴ δύναται κινεῖν καὶ μεθιστᾷν τὴν ὕλην, τουτ. ἐπενεργεῖν ἐπὶ τὴν ὑλικὴν φύσιν, καίπερ ἄϋλος οὖσα· (ἀλλ' οὐχ ἧττον ἡμῖν ἐστιν ἀσαφές, ὅπως αἱ ὑλικαὶ ἄτομοι οὐσίαι ἀλλήλαις ἐπενεργοῦσι μηδαμῶς συνεφαπτόμεναι.) Ὥσπερ δὲ νῦν μὲν ἀβουλήτως νοοῦμεν καὶ παθαινόμεθα, νῦν δὲ μετὰ βουλήσεως· οὕτω τὰ μὲν βουλόμενοι ἔξω περαίνομεν, τὰ δ' αὐτομάτως καὶ καθ' ὁρμήν. Ὁ δὲ Συγγραφεὺς περιλαμβάνει τὴν κίνησιν ἐνταῦθα, ὡς θεωρῶν τὴν ψυχὴν καθ' ἑαυτὴν καὶ οὐ μετὰ τοῦ σώματος. Καίτοι τίς ἡμῖν ἐχέγγυος ἀπόδειξις, ὅτι καὶ πᾶσα νόησις καὶ πᾶσα πάθησις, ὅσον περ ἂν δοκῇ ἐν αὐτῇ τῇ ψυχῇ περιγράφεσθαι, οὐκ ἔχει τινὰ κίνησιν, ἀντιδιδομένην ἐν τῷ σώματι; Τὸ γὰρ μὴ συναισθάνεσθαι ἡμῖν ἀτονώτερον καὶ ἀβληχρότερον κινουμένοις, οὐκ ἔστι δήπου γε τοῦτο τεκμήριον παντελοῦς ἀκινησίας· ἐπεὶ μυρία ὅσα ἡμᾶς διαφεύγει, λάθρα περαινόμενα εἰς τοὺς μυχοὺς τῆς καθ' ἡμᾶς συνειδήσεως. Ἢ οὐκ ἀναμίγνυται ἆρά γε ἡ ψυχὴ λεληθότως καὶ αὐτοῖς τοῖς ὑπενεργουμένοις ὑπὸ τῆς φυτικῆς ἐν ἡμῖν ζωῆς; αὐτίκα γὰρ ἐπὶ τῆς ὑποτροφῆς, τὸ γαγγλιῶδες σύστημα (ἢ τὸ μέγα συμπαθητικόν, ἢ τὸ θρεπτικονευρικὸν σύστημα·) εἰς πάντα τὰ ὄργανα τοῦ σώματος ἐνίησιν ὑφὰς νευριδίων· ἆρά γε εἰς μηδὲν ταῦθ' ἡ φύσις ἐποίησεν ἡ μηδὲν μάτην ποιοῦσα; ἢ τίς οἶδεν εἰ μὴ τὰ νεῦρα ταῦτα διοχετεύοι τὴν ἄδηλον ἐνέργειαν τῆς ψυχῆς ἐπὶ τὴν οἰκονομίαν τῶν ζωτικῶν ἐργασιῶν; Τίς ἀγνοεῖ ὅσον ἡ ἠθικὴ τοῦ ἀνθρώπου κατάστασις συντείνει πρὸς συμπάσας τὰς ζωτικὰς λειτουργίας; Οὐ μόνον δὲ ἡ ψυχὴ ἐπενεργεῖ λάθρα εἰς τὸ σῶμα, ἀλλὰ καὶ σύμπας ὁ ὀργανισμὸς ἡμῶν ἀμοιβαδὸν ἐμποιεῖ τῇ ψυχῇ ἀμυδράν τινα καὶ σιγαλέαν συναίσθησιν τῶν ἐν αὐτῷ, οἷον ψιθυρισμόν τινα ἐν ἀπορρήτῳ γιγνόμενον· ὥστε ἡμῖν ἐκ τῆς τοῦ σώματος διαθέσεως συμβαίνει πολλάκις διάχυσίς τις ἢ σύννοιας οὐκ ἴσμεν ὁπόθεν· ὅλως γὰρ ἥ τε ψυχὴ ἔχει ἀμεσόν τινα συναίσθησιν τῶν τῆς ζωῆς ἐνεργημάτων, ἥ τε ζωὴ ἀπολαύει τῆς παρ' ἐκείνης ἀδια-

§. 348. Πῶς οὖν ἐξηγητέον τὸ κατόρθωμα τοῦτο; Βεβαία μὲν ἡ ψυχὴ οὐκ ἔστιν, ὡς εἰς πέρας ἄξει ὅ,τι ἐπιχειρεῖ· ἀλλὰ σπανιώτατα μὲν κωλύμασιν ἀνυπερβάτοις ἀπαντᾷ· ὡς ἐπὶ τὸ πλεῖστον δὲ κάλλιστα ἐξυπηρετεῖται ὑπὸ τῶν ὀργάνων, ἃ οὐ φθάνει μικρὸν ὑποκινήσασα, καὶ εὐθὺς ἐνεργὰ εὑρίσκει καὶ πειθαρχοῦντα τῇ βουλήσει. Παρὰ γὰρ τὰ νεῦρα τὰ αἰσθητήρια, τὰς ἔξωθεν προσβολὰς εἰς τὴν ψυχὴν εἰσπέμποντα, ἔνεστι τῷ σώματι καὶ κινητήρια νεῦρα, δεχόμενα ἔνδοθεν καὶ διοχετεύοντα θύραζε τὴν ἐξ αὐτῆς προϊοῦσαν ἐνέργειαν. Στρέφεται οὖν πρὸς τὰ κινητήρια, καίπερ ἀγνοοῦσα αὐτὰ καὶ διακρίνειν ἀπὸ τῶν αἰσθητηρίων οὐκ ἔχουσα· ἀλλὰ καὶ οὕτω τοὺς προσφόρους ὑπουργοὺς τῆς ἐνεργείας ἀνεπισφαλῶς ἀνευρίσκει τε καὶ κινεῖ. Ἔστι γὰρ ἐνταῦθα πρόνοιά τις ἀοράτως ἐγρηγοροῦσα καὶ συναντιλαμβανομένη, καὶ καθ' ὁρμὴν ἄρα σύμπαν τὸ τοιοῦτο εἶδος τῆς ἐργασίας περαίνεται. Ὥστ' εὐμοιρεῖ ὑπηρετῶν ἀναριθμήτων, εὐπειθῶς τε καὶ ὀτρηρῶς ἐξαγγελλόντων τὰ παρ' αὐτῆς ἐπιτάγματα.

§. 349. Ἐκ προμελέτης οὖν παραδιδομένη ἡ ψυχή, οἷς ἔχει νοήμασι καὶ παθήμασιν, ἐκτὸς ἐμφῆναι καὶ προβαλεῖν αὐτὰ διατείνεται μετ' ἐπιμονῆς. Καὶ δὴ ὑποκινούμενα τὰ νεῦρα ἐμψυχοῦται δονούμενα, καὶ ἔμπλεα τῆς ἐντεῦθεν προϊούσης ζωῆς, διὰ μυρίων ἔξω τρόπων ἀποδίδωσι ταύτην· ἅμα γὰρ τῆς βουλήσεως ἐπινευσάσης, τά τε νοήματα καὶ τὰ παθήματα ἐγχαράσσεται τῷ ἐγκεφάλῳ, κἀκεῖθεν ὅλον τὸ σῶμα διΐησιν οἷον ἔκ τινος ἀστραπῆς

λείπτου ἐπιστασίας· ἐκ δὲ τῆς ἀμοιβαίας ταύτης ἀλληλενεργείας οἷον ἐκ συνεπιτριβῆς τινος δύο δυνάμεων συνηλεκτριζομένων ἐκ τοῦ σύνεγγυς, ἡ τῆς νοήσεως καὶ τῆς ἐντελεχοῦς ζωῆς μαρμαρυγὴ ἀποπάλλεται καὶ ἐκλάμπει. Ὅταν δ' ἡ σχέσις αὕτη διακοπῇ, ὅταν ὁ σύνδεσμος οὗτος λυθῇ, ὅταν ἡ διαμάχη τῶν δύο τούτων ἀντιδρωσῶν δυνάμεων σβεσθῇ, τότε ἡ παντελὴς ἀδράνεια τῇ ἐπιγείῳ ἡμῶν ζωῇ ἐπιγίγνεται. Ἐπεὶ οὖν λόγῳ μόνῳ τὴν νόησιν καὶ τὴν πάθησιν θεωροῦμεν ἐν αὐτῇ τῇ ψυχῇ, πράγματι δὲ ἐνταῦθα γοῦν ἀχώριστοί εἰσι τῆς τοῦ σώματος συνεργείας, τί οὐχὶ καὶ περὶ κινήσεως ἢ αὐτοκινησίας ῥητέον ἰδίᾳ ὡς δυνάμεως καθ' ἑαυτὴν ὑφισταμένης ἴσα τῇ νοήσει τε καὶ τῇ παθήσει; Καίτοι παρὰ τῷ Συγγραφεῖ ἡ κίνησις ἥ τε ἑκουσία ἥ τε ἀκουσία οὐδὲν ἄλλ' ἐστιν ἢ αὐτὴ ἡ νόησις καὶ ἡ πάθησις ἐνσεσωματωμένη τῇ ὕλῃ· ἀλλὰ καὶ οὕτω δύναμίς τις ἰδία ἐστὶ τῆς ψυχῆς, προΐεσθαι τὰ ἐξ ἑαυτῆς εἰς τὴν αἰσθητὴν ἑ τ ε ρ ό τ η τ α πέφυκυῖα.

SISMANOGLIO MEGARO



ζωοποιοῦντα αὐτό, καὶ εἰς τὴν ἐπιφάνειαν τάχιστ' ἐκδηλούμενα διὰ σημείων καταφανῶν. Καὶ αὐτὰ μὲν τὰ ἐνεργήματα, φύσει καὶ οὐσιωδῶς νοερὰ ὄντα καὶ πνευματικά, οὐδαμῶς μεταπίπτει εἰς ὑλικὰ ἐκ τοῦ ἐποχεῖσθαι ἐπὶ τῆς ὕλης, οὐδὲ μετουσιοῦται ἐκ τούτου εἰς κινήσεις ὀργανικάς, ἀλλὰ διατελεῖ ὄντα τοῦθ' ὅπερ ἦν ἐξ ἀρχῆς· κατειληφότα δὲ μόνον τὸν ὀργανισμόν, πάρεστι καὶ ἰσχύει ἐν αὐτῷ, ὅθεν καὶ προφαίνεται ἔξω. Καί τοι τὰ νοήματα καὶ τὰ παθήματα κυρίως μὲν καὶ ἀληθῶς οὐκ ἐν τοῖς νεύροις κυκλοφορεῖ, οὐδὲ διοχετεύεται δι' αὐτῶν εἰς τὸν ὀφθαλμὸν καὶ τὴν χεῖρα, ὡς φύσει ἀχώριστα διαμένοντα ἀπὸ τῆς ἀρχῆς καὶ οὐσίας αὐτῶν· δύναται ὅμως καὶ ἐντεῦθεν εἰς ἐνέργειαν καθιστᾷν τὸν ὀργανισμόν, καὶ τοιαύτην ἀλλοίωσιν ἐμποιεῖν, ὥστ' ἐν τῇ ὄψει καὶ τῇ χειρονομίᾳ ἢ τῇ φωνῇ ἀναμφισβήτητα διαλάμπειν τεκμήρια τῆς παρουσίας αὐτῶν ἢ ἰσχύος καὶ δράσεως. Τὸ γὰρ σῶμα ὑπείκει μὲν τοῖς ἐπιτάγμασι τῆς ψυχῆς, ἵνα ἐξερμηνεύσῃ καὶ ἐκδηλώσῃ τὰς ἐν αὐτῇ ἐννοίας καὶ συγκινήσεις, ἀλλ' οὐ διὰ τοῦτο νοοῦν καθίσταται καὶ ἐρῶν· ὥσπερ ἐξ ἀμοιβῆς καὶ αὐτὴ ἡ ψυχὴ κοινωνεῖ μὲν τῷ σώματι ἐξ ὧν παρ' αὐτοῦ εἰσδέχεται προσβολῶν καὶ κινήσεων, ἀλλ' οὐ διὰ τοῦτο φυσικὴ καὶ ὑλικὴ ἀποβαίνει. Ἑκατέρα γὰρ τῶν φύσεων τούτων ἀσύγχυτος διασώζεται καὶ διακεκριμένη, ἡ μὲν ἀΰλως διϊθύνουσα, ἡ δὲ ὑλοπρεπῶς κινοῦσα· ἡ γὰρ σχέσις τῶν ἐν αὐταῖς γινομένων οὐ ταὐτότητος, ἀλλὰ προϋπάρξεως ἢ αἰτιότητος καὶ ἐπενεργείας ἐστίν. (α)

§. 350. Οὕτως οὖν ἐξηγούμεθα, εἴ τι καὶ ἐξηγούμεθα, τὴν μυστηριώδη ἐπενέργειαν, δι' ἧς ἡ νοερὰ οὐσία τὴν κυβερνητικὴν αὐτῆς δύναμιν πρῶτον μὲν εἰς ἑαυτὴν ἐπιδείκνυται, ἔπειτα δὲ καὶ εἰς αὐτὸ ἐπεκτείνει τὸ σῶμα, ὡς οὐ μόνον τὸ ἐνδόμυχον ἐνεργητικὸν χαλιναγωγοῦσά τε καὶ διοικοῦσα, ἀλλὰ διὰ τούτου καὶ αὐτὴν τὴν

(α) Τὰ ἐν τῇ ψυχῇ γιγνόμενα ἐκ τοῦ σώματος, οὐ ταὐτὰ δηλονότι οὐσιωδῶς ἐστι τοῖς ἐν τῷ σώματι, οὐδὲ τὴν αὐτὴν διασώζει ὑλικὴν φύσιν, ἀλλὰ μόνον ἀποτελέσματά ἐστιν ἄλλα ἐκεῖθεν ἐκπηγάζοντα. Καὶ τοὐναντίον, ἡ ψυχὴ ἐπενεργοῦσα εἰς τὸ σῶμα, οὐ τὰ ἑαυτῆς ἐνεργήματα ἀπαραλλάκτως ἐκεῖσε ἐνεισάγει· ἀλλὰ ταῦτα ἡ μὲν νοερά, ἐν αὐτῇ μένει· προϋπάρχοντα δέ, αἰτία τῶν ἐν τῷ σώματι ἀντιστοίχων φυσικῶν καὶ ὑλοπρεπῶν κινημάτων γίγνεται.

ὀργανικὴν ζωήν· τῶν γὰρ ζωϊκῶν λειτουργιῶν, αἳ κατ' ἀρχὰς διέφευγον ἀνυπότακτοι, ἐγκρατὴς ἅπαξ γενομένη, οἰκειοῦται αὐτὰς καὶ ἰδίας ποιεῖται, οὐκ ἀντιβαίνουσα μὲν τοῖς νόμοις αὐτῶν, μάλιστα δὲ τοὐναντίον καὶ συναρμοζομένη τούτοις καὶ στείχουσα ἐπὶ τῇ ἑαυτῆς ὠφελείᾳ. Ἐκ δὲ τούτου νέα αὐτῇ ἰσχὺς καὶ δύναμις προστίθεται, ἅτε δὴ τὴν βούλησιν πρὸς τὰ ὀργανικὰ ἀπευθυνούσῃ συστήματα· ἰσχύει γὰρ παρὰ τοῖς νεύροις καὶ τοῖς μυσίν, ἢ τῷ ἐγκεφάλῳ· διὰ δὲ τοῦ ἐγκεφάλου ἰσχύει μὲν παρ' ἑκάστῳ τῶν αἰσθητηρίων καὶ τῶν μελῶν· ἰσχύει δὲ παρὰ τῷ ὀφθαλμῷ καὶ τῇ χειρὶ καὶ τῇ ἀκοῇ καὶ αὐτῇ τῇ γεύσει τε καὶ τῇ ὀσφρήσει· πανταχοῦ γὰρ καταφαίνεται ἔκφρασις ἢ μετάβασις καὶ κίνησις, δι' ὧν ἐπενεργεῖ πρός τε τὰς νοερὰς ἔξω οὐσίας καὶ πρὸς τὴν ὕλην.

§. 351. Ἀλλ' οὐχ ἵσταται μέχρι τούτου ὁ ἄνθρωπος· τὰ γὰρ ὄργανα ἑαυτῷ καθυποτάξας, χωρεῖ καὶ πρὸς τὴν φύσιν αὐτήν, οὐκέτι διὰ τοῦ σώματος τὰς καθ' ὁρμὴν καὶ κατ' ἀνάγκην γινομένας προσβολὰς εἰσδεχόμενός τε καὶ προϊέμενος, ἀλλὰ μεταχειριζόμενος ἤδη ἐλευθέρως ταύτην τὴν θαυμαστὴν αὐτοῦ μηχανήν, ὅσον περ ἐγχωρεῖ, καὶ εἰς πρόσληψιν αἰσθημάτων, καὶ εἰς πρόεσιν βουλημάτων. Καὶ τῆς μὲν ἀνάγκης παντάπασιν οὐκ ἀπαλλάσσεται, πάρεστι δ' ὅμως καὶ ἡ κατ' αὐτὸν προαίρεσις ἐπιπλέον καὶ ἀσφαλέστερον· καὶ οὕτω δουλεύει μὲν ἥκιστα τοῖς ἔξωθεν αἰτίοις, καταδουλοῦται δὲ μάλιστα ταῦτα, ὡς τῶν μὲν ἀπαλλαττόμενος, τῶν δὲ κρατῶν τῇ διανοίᾳ. Νέα οὖν αὕτη ἰσχὺς προσγίνεται, ἀρχομένη μὲν ἐκ τῆς τοῦ ὀργανισμοῦ ὑποκινήσεως, ἀκτινοβολοῦσα δ' ἔπειτα ἐκεῖθεν πανταχόσε καὶ πάνυ πόῤῥω εἰς τὸ ἀχανές. Ἡ γῆ καὶ ὁ οὐρανός, αἱ θάλασσαί τε καὶ αἱ ἤπειροι, πάντα γίνεται τοῦ ἀνθρώπου· ὅτι καθ' ἑκάστην κράτος καὶ ἐξουσίαν λαμβάνει ἐπ' αὐτῶν· καὶ αὐτοὺς δὴ τοὺς ἀστέρας ὑπὸ τὴν ἔρευναν καὶ τὴν χρῆσιν αὐτοῦ καθυποβάλλει, εἴγε καὶ διὰ τῶν χειρῶν αὐτοῦ μὴ κινεῖ. Ὥστε διὰ τῆς ὀλιγίστης ταύτης ὕλης, ἣν ἐξ ἀρχῆς ἔχει ὑποχείριον ἑαυτῷ, συνάγει καὶ συναθροίζει καὶ συναρμόζει μυρία συνεργὰ ἢ ὄργανα σποράδην ἐν τῷ χώρῳ κείμενα, μηχανὰς μὲν ἐξ αὐτῶν συμπηγνύμενος παρὰ τῇ ἰδίᾳ μηχανῇ, ὀφθαλμοὺς δὲ προσαρτῶν τοῖς ἰδίοις

SISMANOGLIO MEGARO



ὀφθαλμοῖς, χεῖρας δὲ προσάπτων ταῖς ἰδίαις χερσί, καὶ πόδας τοῖς ποσὶ συμφύων καὶ οὕτω καθεξῆς, διπλασιάζων, τριπλασιάζων καὶ ἑκατονταπλασιάζων τὴν δύναμιν τοῦ ἰδίου ὀργανισμοῦ· μᾶλλον δὲ σύμπασα ἡ φύσις ὄργανον αὐτῇ γίνεται. (α) Καὶ εἰ μὴ τολμηρὸν εἰπεῖν, οἷον Θεός τις ἐπίγειός ἐστι καὶ ψυχὴ τῆς συμπάσης ταύτης χειροτεχνίας καὶ βιομηχανίας, δημιουργῶν ἅμα καὶ διακυβερνῶν κατὰ τὸ μέτρον τῆς ἀνθρωπίνης ἰσχύος. Ὡς θαυμαστὴ δύναμις ἀληθῶς ὁ ἄνθρωπος, ὅταν τοσούτοις βοηθήμασι, τοσούτοις τεχνουργήμασι καὶ ὀργάνοις πρὸς τὸν ἀληθῆ καὶ ἔλλογον αὐτοῦ σκοπὸν χρῆται, καὶ πάντ' ἀναφέρῃ πρὸς μόνον τἀγαθόν.

§. 352. Ἐκ τῶν εἰρημένων δὲ φανερόν, ὅτι ἡ δύναμίς ἐστιν ἡ τῆς ψυχῆς ἀρετή, δι' ἧς οὐ μόνον ἁπλῶς τε καὶ μετ' ἐλευθερίας ἐνεργεῖ, ἀλλὰ καὶ δραστηρίως, ἐκπεραίνουσα δηλαδὴ τοῦθ' ὃ βούλεται ἐν νοήμασι καὶ παθήμασι καὶ κινήσεσι. Συνίσταται ἄρα ἐν τῇ εὐστόχῳ καὶ ἀνελλιπεῖ ἐνεργείᾳ πασῶν τῶν ἐν ἡμῖν δεξιοτήτων, τῶν τε διανοητικῶν καὶ τῶν φυσικῶν, ἀρχομένη μὲν ἀπὸ τῆς συναισθήσεως, διερχομένη δὲ τὰ ὄργανα τῆς ζωῆς, καταντῶσα δὲ ἐπὶ σύμπαντα τῆς φύσεως τὰ σώματα, τουτέστιν ἐκ τοῦ νοὸς μὲν ἀφορμωμένη, εἰς δὲ τὴν ὕλην ἀποτελευτῶσα. Ἀλλὰ πῶς καὶ πρὸς τίνα τέλη τὴν μέθοδον ταύτην ἐφαρμόζει τῇ πράξει; (β) Δῆλον γὰρ ὅτι πρὸς μυρία καὶ ποικίλα πράγματα ἀποτείνεται· μᾶλλον δὲ

(α) Τὰ ἀτμόπλοια, αἱ ἀτμάμαξαι, τὰ πηδάλια, ἡ τυπογραφία, τὰ τηλεσκόπια κτλ. κτλ. μηχαναί τινες ἐπίκουροι παραπεπήγασι τῇ τοῦ σώματος μηχανῇ, ἔργον οὖσαι τῆς μικρᾶς μέν, πολυμηχάνου δὲ ταύτης χειρός, τῆς θαυμασιώτατα ἐξυπουργούσης τοῖς διανοήμασι τῆς ψυχῆς. Διὰ πάντων δὲ τούτων ὁ ἄνθρωπος πρόεισιν ἀεὶ ἐπὶ τὸ τελειότερον ἐνταῦθα, εἰς τὰ μυστήρια τῆς πολυδαιδάλου Φύσεως καθ' ἡμέραν ἐπεισδύων, καὶ τὸ πάνσοφον τοῦ Ποιητοῦ ὑπερθαυμάζων, καὶ πάσῃ οὕτω διανοίᾳ ἐκεῖσε ἀναρπαζόμενος. Τοῦτο δὲ καὶ προδιατίθησιν αὐτὸν εἰς τὴν ἀπόλαυσιν τῆς μελλούσης μακαριότητος, ὅταν ἐκ τῆς ἀληθείας ἐλλαμπόμενος, ὑποθερμαίνηται τὴν τοῦ ἀκράτου ἀγαθοῦ ἔφεσιν, τὴν ἀποτεφροῦσαν ἐν ἡμῖν πᾶν τὸ κτηνῶδες καὶ χαμαίζηλον, καὶ ἐξομοιοῦσαν ἀεὶ μᾶλλον τῷ Θεῷ. Οὕτως οὖν μετακινοῦντες καὶ μεταχειριζόμενοι τὴν ὕλην, αὐτουργοὶ καθιστάμεθα τῆς τε διανοητικῆς καὶ τῆς ἠθικῆς ἡμῶν προόδου.

(β) Περὶ τούτου ἡ Ἠθικὴ διαλαμβάνει ἰδίᾳ, ὅπου καὶ ὅρα τὴν εἰς πλάτος ἐξήγησιν τῶν συνεπιτετμημένων ἐνταῦθα πρὸς ἁπλῆν μόνον νύξιν.

πρὸς ἓν μὲν ἀφορᾷ τέλος, τὸ μέγιστον καὶ ὑπέρτατον, τὸ ἀγαθὸν μετὰ τῆς εὐδαιμονίας καθόλου, ἀλλὰ πρὸς τοῦτο πολλὰ μὲν τὰ μεταξὺ τέλη, οἷον σταθμοί τινες ἢ ἀνάπαυλαι, πολλαὶ δὲ αἱ ὁδοὶ αἱ ἐκεῖσε ἄγουσαι, καὶ διὰ τοῦτο ἀνάγκη ζητῆσαι τὰ παντοῖα ἔργα, ἃ περαίνει ἡ ἀνθρώπινος δύναμις.

§. 353. Ἐπεὶ δὲ περὶ τρία μάλιστα ὄντα τὸ ἐνεργητικὸν ἡμῶν ἐξ ἀνάγκης στρέφεται, τὴν φύσιν, τὴν κοινωνίαν καὶ τὸν Θεόν, ὧν ἄνευ οὐδὲν ἀνύσαι δυνάμεθα, τρεῖς καὶ χρεῖαι μεγάλαι, ἢ τρία καθήκοντα οὐσιώδη διορίζουσι καὶ διευθύνουσι τὴν χρῆσιν τοῦ ἡμετέρου ἐνεργητικοῦ· ὧν γὰρ χρήζομεν πρὸς τὴν πρόοδον ἡμῶν, ἔστι 1ον· τὰ φυσικὰ πράγματα· 2ον· ἡ κοινωνικὴ τάξις· καὶ 3ον· ἡ Θεότης. Πρὸς μὲν οὖν τὴν πρώτην χρείαν ἀντιστοιχεῖ ἡ ἐπίπονος ἐργασία ἡ διατηροῦσα ἢ καὶ αὔξουσα ὅσον ἔνεστι τὴν ἐκ τῶν ἰδιοτήτων τῆς ὕλης χορηγουμένην ἡμῖν *ὠφέλειαν*. Ἐντεῦθεν οὖν ἡ *Ὑγιεινὴ* καὶ ἡ *Βιομηχανία*· ἡ μὲν τὸ *ἡμέτερον* σῶμα περιθάλπουσα πρὸς ὑγιείαν· ἡ δὲ, πάντα μὲν τὰ *ἕτερα* σώματα τῆς φύσεως ἐξεργαζομένη, ἀλλ' ὡς πρὸς τὸ ἡμέτερον σῶμα, τουτ. καθυποτασσομένη τῇ Ὑγιεινῇ, καὶ συμβαλλομένη πρὸς τὴν εὐεξίαν τῆς φυσικῆς ἡμῶν ζωῆς, καὶ ὡς πλεῖστα ἡμῖν περιποιοῦσα τὰ ἐκ τῆς φύσεως ἀγαθά. (α) Τοῦτο μὲν δὴ προσκτώμεθα πρώτιστον ἐκ τῶν πόνων καὶ ἀγώνων ἡμῶν.

§. 354. Ἡ δὲ χρεία τῆς κοινωνίας, ἣν διατηρεῖν, μᾶλλον δὲ καὶ τελειοποιεῖν ἡμῖν συμφέρει, (ὡς ὂν ὀλεθριώτατον ἢ ἐστερῆσθαι ταύτης, ἢ βιοῦν ἐν κοινωνίᾳ πλήρει ἀταξίας καὶ παρανομίας,) ἀναγκάζει ἡμᾶς πάντα ποιεῖν καὶ πράττειν, ὅπως μὴ διαταράξωμεν, ἀλλὰ καὶ ἐπὶ τὸ βέλτιον καταστήσωμεν τὰς κατὰ φύσιν ἐνούσας ἡμῖν συναφείας πρὸς τοὺς ὁμοίους· διὸ ἐργαζόμεθα τὴν δικαιοσύνην καὶ τὴν χρηστότητα, σεβόμενοι ἢ ἀγαπῶντες τοὺς κοινωνοὺς τῆς αὐτῆς ἡμῖν πολιτείας. Ἐκ τούτου δὴ φύονται πᾶσαι αἱ ἀρεταὶ, αἱ

(α) Ἀλλ' ἔχει καί τι ὑψηλότερον ἡ περὶ τὴν ὕλην ἀσχολία, καὶ οὐ μόνον πρὸς τὴν τοῦ σώματος εὐπείθειαν περιορίζεται, ὡς προϋποσεσημείωται. Καὶ γὰρ ἄνθρωποι ὄντες καὶ πρὸς τὰς λοιπὰς δύο χρείας τῆς ἐκ τοῦ σώματος καὶ τῆς ὕλης βοηθείας χρήζομεν. Ὅρ. δὲ καὶ **237** καὶ **258**.



παρὰ τῶν ἀνθρώπων πρὸς ἀλλήλους πραττόμεναι, εἴτε πρὸς πᾶν τὸ ἀνθρώπινον ἐπεκτεινόμεναι, καὶ αἱ ἐν τῷ κύκλῳ τῆς οἰκίας μόνον περιγραφόμεναι.

§. 355. Ἔστι δ' ἡμῖν καὶ τὸ Θεῖον ἀναγκαῖον μᾶλλον ἢ ὁ κόσμος καὶ ἡ ἀνθρωπότης, ὅτι ἄνευ αὐτοῦ οὐδὲν ἂν εἴη· τοῦτο ἡμῖν τὸ ἀκρότατον καὶ πρώτατον ἐφετὸν, τὸ μέγιστον καὶ ὕπατον ἀγαθὸν, καὶ ἡ ἀρχὴ τῆς ἡμῶν ὑπάρξεως. Ὡς πρώτιστον οὖν τῶν καθηκόντων ἐμπέφυκεν ἡμῖν τὸ ἀδιαλείπτως ἐπιστρέφειν τὴν διάνοιαν εἰς τὸν Θεὸν, καὶ πεποιθέναι μὲν ἐπὶ τῇ σοφίᾳ, ἐπαναπαύεσθαι δ' ἐπὶ τῇ χρηστότητι αὐτοῦ, δοξολογεῖν τε καὶ ἀγαπᾶν αὐτὸν ὑπὲρ πᾶν ἄλλο ἀγαθόν. Ἀλλὰ καὶ ὅταν παρεκτραπῶμέν πως τῆς περὶ τὸ Θεῖον ἐννοίας, ἐπειδὴ ἀδύνατόν ἐστι παντάπασιν ἀρνήσασθαι, ὑπολείπεται ἡμῖν ἔτι ἱκανὴ πίστις πρὸς τὸ λατρεύειν αὐτῷ, ὡς ὑπερκειμένῳ καὶ δεσπόζοντι ἡμῶν. Ἀλλ' ἡ πίστις ἡμῶν συνήθως ἐστὶν ἀμείνων, τουτ. πληρεστέρα καὶ λογικωτέρα καὶ ἀληθεστέρα· νοοῦμεν γὰρ τὸ ὑπέρτατον τοῦτο ὂν, ὡς αἰώνιον καὶ ἄμετρον, ὡς ἄπειρον κατὰ πάντα, ὡς παντοδύναμον, πάνσοφον καὶ πανάγαθον, ὡς παναυτεξούσιον καὶ παντουργικὸν, ὡς τὸ πρωτότυπον πάσης νοερᾶς οὐσίας, ὡς τὸν νοῦν τῶν νόων, τὸ πνεῦμα τῶν πνευμάτων, καὶ ὡς ἔπος εἰπεῖν ὡς τὸν *ἀληθινὸν* Θεόν· ἡ δὲ τοιαύτη πίστις καὶ μάλα εὐσεβῶς διεξάγει σύμπαντα τὸν βίον ἡμῶν τὸν ἀναφερόμενον πρὸς αὐτόν.

§. 356. Ἑτέρα δ' αὕτη χρῆσις τῆς ἐν ἡμῖν δραστηριότητος, ἣν δεικνύουσι τρανῶς πᾶσαι ἡμῶν αἱ τῆς εὐσεβείας πράξεις, οἷον ἡ ἐνδόμυχος καὶ ἐπιστρεπτικὴ ἐξέτασις, ὑφ' ἣν ἑαυτοὺς κατὰ συνείδησιν ὑποβάλλομεν, αἱ σιγηλαὶ προσευχαὶ, αἱ ἐκστατικαὶ καὶ ἐνθουσιώδεις ἐπικλήσεις· ἔτι δὲ τὰ καταφανέστερα σημεῖα τῶν συγκινήσεων τὰ ἐμψυχοῦντα ἡμᾶς, οἱ ἱεροὶ ὕμνοι ἐν τῇ τοῦ πλήθους συναγωγῇ, αἱ μελῳδίαι τῆς φωνῆς, οἱ ναοὶ, τὰ θυσιαστήρια, αἱ εἰκόνες αἱ περικοσμοῦσαι τοὺς ἱεροὺς σηκοὺς, καὶ πᾶσα ἡ περιαστράπτουσα μεγαλοπρέπεια. Ἔτι δὲ καὶ πάντα τὰ ἔργα τὰ γεραίροντα καὶ δοξάζοντα τὸ Θεῖον ἐν τοῖς δημιουργήμασιν αὐτοῦ, ἡ περίθαλψις καὶ κηδεμονία ἡ ὑπ' εὐσεβείας ἀπονεμομένη τῷ τε ἀνθρώπῳ

καὶ πᾶσι τοῖς ἐν τῇ φύσει. Οὕτως οὖν περὶ τρία μάλιστα κατ᾽ ἀρχὰς τὰ γενικώτατα, ὧν ἕκαστον ἔπειθ᾽ ὑποδιαιρεῖται εἰς πλείονα μερικώτερα, στρέφεται ἡ ἐν ἡμῖν δύναμις καὶ ἐνέργεια, τὴν φύσιν, τὴν κοινωνίαν καὶ τὸν Θεόν. Ἀλλὰ πάνυ πόῤῥω ἀφεστήκαμεν τοῦ διεξάγειν ἑκάστην τῶν ῥοπῶν τούτων οὕτω σωφρόνως, ὥστε μηδὲν μηδαμῶς παραβαίνειν τῶν ἐπιβεβλημένων ἡμῖν ἐνταῦθα καθηκόντων· διὰ τοῦτο καὶ παρὰ τῇ ἀρετῇ θαμὰ παραφύεται καὶ ἡ κατάχρησις καὶ ἡ κακία.

§. 357. Ἀλλὰ χωρὶς τῶν τριῶν εἰρημένων χρειῶν ἔνεστιν ἡμῖν καὶ ἑτέρα τις, διακρινομένη μὲν σαφῶς, ἀλλ᾽ ἰσχυρῶς ἀναμιγνυμένη καὶ συναπτομένη ταύταις· ἔστι δὲ ἡ τῆς ποιήσεως χρεία, ἢ ἡ ἔφεσις τοῦ καλοῦ. Ἐνδιεγείρεται δ᾽ ἡμῖν τὸ *φιλόκαλον πάθημα*, ὁρῶσι μὲν τὰ θαυμάσια τῆς φύσεως καὶ τῆς ἀνθρωπότητος, νοοῦσι δὲ μάλιστα τὰς ἁγιωτάτας τελειότητας τοῦ κρατίστου τῶν ὄντων. Ἐκ δὲ τούτου θαυμάζομεν μὲν ἀγαλλόμενοι πᾶν ὅ,τι χάριεν καὶ μέγα καὶ ὑψηλὸν ἐνορῶμεν ἑκατέρῳ τῶν δημιουργημάτων τῶν ὡραϊζόντων τὴν σύμπασαν κτίσιν· θαυμάζομεν δὲ λατρεύοντες τὴν ἄφατον καλλονὴν καὶ τὰ ὑπὲρ νοῦν ἐξαίσια τῆς δημιουργικῆς αἰτίας. Τοῦτο δή ἐστι τὸ ἐννοιῶν ἡμᾶς πανταχόθεν ἀκορέστως ἐμπιπλᾷν τὴν διάνοιαν ἐκ τῶν ζωογόνων τοῦ κάλλους προσβολῶν, καὶ ὑποτρέφειν καὶ ὑπεραύξειν αὐτὴν εἰς βάθος· ἔπειτα δὲ καὶ ἐκφράζειν αὐτὰς καὶ ἐμφαίνειν διὰ τῶν μυρίων συμβόλων, οἷς ἐφ᾽ ἡμῖν ἐστι χρῆσθαι ποικιλοτρόπως. Ἐκ δὲ τούτου προκύπτει ἡ τέχνη ὑπὸ τὰς παντοίας αὐτῆς μορφάς· πρῶτον μὲν τὸν λόγον, ὃς ἐκ πάντων τῶν ἀποδιδόντων καὶ προφαινόντων τὴν ποίησιν τὸ λεπτοφυέστατον ἅμα ἐστὶ καὶ τὸ πλουσιώτατον καὶ τὸ πιστότατον· εἶτα δὲ τὸ ᾆσμα καὶ τὴν μουσικήν, μεθ᾽ ὧν περιέχουσιν ἀναριθμήτων ἁρμονιῶν· τρίτον δὲ τὴν ῥητορικὴν παράστασιν, δραματικώτερον ἢ εὐτραπελώτερον γινομένην· τέταρτον δὲ τὴν σκιαγραφίαν, τὴν χρωματογραφίαν, τὴν γλυπτικήν, τὴν ἀρχιτεκτονικὴν μέχρι καὶ αὐτῶν τῶν καλλιεργημάτων τῶν ἐν τοῖς πεδιάσι καὶ τοῖς κήποις ἐξειργασμένων, ἃ καλλύνοντα τὴν ὄψιν τῆς γῆς συμβάλλοιτ᾽ ἂν οὐ μικρὸν τῇ τοῦ ἀνθρώπου διανοίᾳ πρὸς τὴν τῆς φιλοκαλίας ἀνάπτυξιν.

SISMANOGLIO MEGARO



§. 358. Τὰ μὲν οὖν παντοῖα εἴδη τῆς καλλιτεχνίας, μεθ᾽ ἧς καὶ ἡ θρησκεία καὶ ἡ ἠθικὴ καὶ ἡ βιομηχανία, ταῦτα μέν ἐστι περὶ ἃ στρέφεται πολυειδῶς ἡ βουλητικὴ ἡμῶν δύναμις· ἢ ταῦτά ἐστι τὰ τέλη, πρὸς ἃ ἐπιτείνοντες τὴν ἐν ἡμῖν δεξιότητα τοῦ νοεῖν, τοῦ παθαίνεσθαι καὶ τοῦ κινεῖν, εὐστοχοῦμεν κατὰ τὸ μᾶλλον καὶ τὸ ἧττον. Φέρε δὲ νῦν εἴπωμεν ὀλίγ᾽ ἄττα, τὰ κυριώτατα, καὶ περὶ τῶν βαθμῶν τῆς δυνάμεως ταύτης.

§. 359. Συνήθως μὲν γὰρ ὅ τις βούλεται, ἀνελλιπέστερον ἐκτελεῖται· τά τε γὰρ νεῦρα ἕτοιμα, οἵ τε μύες εὐκίνητοι ἀποδιδοῦσιν ἔξω πιστῶς τὴν ἐκ τῆς ψυχῆς δονήσασαν αὐτὰ νόησιν· ἡ γὰρ πρός τι γινομένη σύντασις κατορθοῦται ῥᾷστα καὶ ἀνεμποδίστως. Συνήθως δὲ καὶ ἡ ἐκτὸς τοῦ σώματος ὕλη οὐ δυσμαχεῖ οὐδ᾽ ἀφηνιάζει τῇ ψυχῇ, αἰσθητοποιεῖν πειρωμένῃ τὴν ἔνδον αὐτῆς νόησίν τε καὶ βούλησιν. Πλήρης γὰρ ὁ βίος τῶν τοιούτων κατορθωμάτων, ἃ βούλησίς τις δραστηρία ἅμα τε καὶ ἐπίμονος ἀνεγείρει ἐν τοῖς ὀργάνοις, διὰ δὲ τῶν ὀργάνων ἐν τῇ φύσει. Αὕτη μὲν οὖν ἡ κοινὴ καὶ συνήθης δύναμις, ἢ ὁ μέσος ὅρος τῆς ἐκτελεστικῆς ἰσχύος. Σπανιώτερον δὲ δείκνυται κατὰ δύο τινὰς ἑτέρους βαθμοὺς διαφέροντας.

§. 360. Ἤτοι γὰρ ἀδυνατοῦσα τὰ μέγιστα, χαύνως τε καὶ νωθρῶς ἔχουσα, οὐ φθάνει ἀναλαμβάνουσά τι καὶ εὐθὺς αὐτὸ ἀποτίθεται· ὅτι ὁ μὲν ὀργανισμὸς φυγέπονος ὢν καὶ ναρκώδης ἢ δυσπειθής, πάντ᾽ ἀποποιεῖται καὶ ἀντικρούει· τὰ δ᾽ ἕτερα σώματα δυσκινήτως ἔχει ἢ ἀντιπράττει, εἰς οὐδὲν αὐτῇ συνεργοῦντα· ἐκ δὲ τούτου φαῦρά τινα καὶ ἀμυδρὰ μόνον δείγματα προφαίνεται τῆς ἐνδομύχου διανοίας, ὡς προελθεῖν ἔξω τοῦτ᾽ αὐτὸ ἀδυνατούσης. Ἢ τοὐναντίον πάντα χωρεῖ κατὰ ῥοῦν καὶ κατ᾽ εὐχήν· τά τε γὰρ ὄργανα, τάχιστα τῆς βουλήσεως ἐπινευσάσης, περαίνει τὸ οἰκεῖον προθύμως καὶ εὐπειθῶς, καὶ πάντα δι᾽ ἀντιστοίχων κινήσεων ἀποδίδωσι καὶ ἐξερμηνεύει τὰ ἐκ τῆς συναισθήσεως, οὐ μόνον τὰ οὐσιώδη καὶ καταφανῆ, ἀλλὰ καὶ αὐτὰ τὰ ἐπουσιώδη καὶ λεπτότατα· τά τε ἐκτὸς τὰ περὶ τὰ ὄργανα οὐδὲν κωλύει καὶ οὐδὲν ἀντεξορμᾷ, μᾶλλον δὲ τοὐναντίον καὶ συντελεῖ καὶ συναρήγει· ὥστε ἡ ψυχὴ ἐνταῦθα ἑαυτῆς τε καὶ τῶν ἔξω ἄρχουσα, ἀκμάζει ἐν τῇ ἰσχύϊ καὶ δυνατή ἐστιν.

§. 361. Ἐκ δύο δέ τινων προέρχονται οἱ διάφοροι βαθμοὶ τῆς δυνάμεως· ὧν τὸ μὲν ἐστιν ἐνδόμυχον καὶ νοερὸν, ἡ κατάστασις τῆς ψυχῆς· τὸ δὲ, ἐξωτερικὸν καὶ φυσικὸν, ἡ κατάστασις τοῦ σώματος, καὶ δὴ καὶ τῆς ἔξω φύσεως· ἵνα γὰρ τὰ ἄκρα μόνον ἐξετάσωμεν, πόθεν νῦν μὲν μέγιστα, νῦν δ᾽ ἐλάχιστα δυνάμεθα; Ἡ τὸ μὲν, ὅτι ἥ τε βούλησίς ἐστιν ἰσχυρὰ καὶ σύντονος καὶ δραστηρία, ζωηρά τε ἅμα καὶ βεβαία· τά τε ὄργανα πρὸς ἃ στρέφεται, ἕξει ἢ φύσει προθύμως αὐτῇ ἐξυπηρετεῖ. Ἔστι μὲν γὰρ ὅτε τὰ ὄργανα ἐξ ἐθισμοῦ καὶ πόνου μακροῦ προησκημένα τυγχάνει εἰς τὴν τῶν ἔνδοθεν κινήσεων ἐκτέλεσιν· ἔστι δ᾽ ὅτε καὶ αὐτόματα οὕτω θαυμασίως πέφυκεν ἐκπληροῦν τὰ τῆς νοήσεως καὶ τὰ τῆς παθήσεως, ὥστε πολλάκις ὑπὲρ πᾶσαν εὐστοχεῖ προσδοκίαν, ὑπό τινος ἀγόμενα ὁρμῆς, ἢ οὐκ οἶδ᾽ οὗτινος δαιμονίου, ζῶντος ἐν αὐτοῖς καὶ ἐπιχέοντος μετὰ τοσαύτης σοφίας ἀμήχανόν τινα καὶ πολύτεχνον ἐνέργειαν. Οὐδεὶς γὰρ, οἶμαι, ὁ ἀντιλέγων, ὅτι ἔν τισιν ἐξαισίοις καὶ ὑπερφυέσιν ἀνδράσιν οὐ μικρά τις ῥοπὴ γίνεται πρὸς ἀνάδειξιν καὶ ἡ τοῦ ὀργανισμοῦ εὐφυΐα καὶ τελειότης, ὥσπερ καὶ ἡ ἔξωθεν ἐπενέργεια, ἡ τοῦ κλίματος, ἡ τῆς διαίτης, ἡ τοῦ τόπου κτλ., ἐξ ὧν πολλάκις πολλὴ ἡ προπαρασκευὴ πρὸς τὴν τῆς βουλήσεως εὐθυδρομίαν. Τὸ δὲ, ὅτι ἡ βούλησίς ἐστιν ἀνίσχυρος εἴτε ὡς ἐκ τῆς ψυχῆς, εἴτε καὶ ὡς ἐκ τῆς ὕλης. Εἰ γὰρ ἡ μὲν ἀπόφασίς ἐστιν ἄψυχος καὶ εὐμετάβλητος, ἡ δὲ κρᾶσις τοῦ σώματος ἐλλιπὴς, οὐδὲν οἷόν τ᾽ ἐστι κατορθῶσαι. Καί τοι πολλάκις ὁ μὲν βουλόμενος καὶ πόνους ἀτρύτους καταβάλλει, καὶ ζῆλον καὶ δεξιότητα ἐπιδείκνυται· ἀλλὰ τὸ μὲν σῶμά ἐστιν ἀσθενὲς, ἀκροσφαλὲς τὴν ὑγείαν, ἢ κεκμηκὸς καὶ ῥικνὸν ὑπὸ τοῦ χρόνου· οὐ γὰρ δήπου ἡ βούλησις ἰάσασθαι καὶ ἀνακαινίσαι ἔχει τὸν ὀργανισμόν. Ἴσως δὲ καὶ αἱ ἔξωθεν περιστάσεις εἰσὶ τραχεῖαι καὶ δυσμεταχείριστοι, ἢ ναρκωτικαὶ καὶ παραλυτικαὶ κτλ. Ἐκ πάντων γὰρ τούτων καὶ τῶν τοιούτων ματαιοῦται πολλάκις καὶ ἡ ἀγαθὴ βούλησις.

§. 362. Τὸ μὲν οὖν τῆς δυνάμεως ἐκ τῆς ψυχῆς καὶ τῆς βουλήσεως ἐξήρτηται· τὸ δὲ, ἐκ τῶν φυσικῶν καὶ ἀναγκαίων αἰτιῶν· ἀλλ᾽ ὁποτέρωθεν ἂν προέρχηται, ὅσῳ ἐῤῥωμενεστέρα ἐστὶν ἡ βούλησις, τοσούτῳ καὶ ἡ δύναμίς ἐστι τελεστικωτέρα, εἴτ᾽ ἰσχυροτέρα, εἴτ᾽ ἀνισχυροτέρα εἴη καθ᾽ ἑαυτὴν θεωρουμένη. Ὥσπερ καὶ τοὐναντίον ἀεὶ χείρων ἑαυτῆς ἡ δύναμις γίνεται, ὅταν ὄκνος καὶ ῥᾳθυμία κατέχῃ τὴν βούλησιν. Εἰ γὰρ καὶ τὸ βούλεσθαι οὐκ ἔστιν αὐτόχρημα δύνασθαι, πολλάκις δὲ καὶ μεγίστη διαφορὰ ἑκάτερον αὐτῶν διϊστᾷ, ὅταν δηλαδὴ μαλθακὴν μὲν βούλησιν εὐθὺς διαδέχηται δύναμις πλήρης καὶ ἰσχυρά· γενναίαν δὲ βούλησιν ἀνακόπτῃ δύναμις ἀδρανὴς καὶ ἀτελεσφόρητος, ἀλλὰ καὶ οὕτως οὐχ ἧττόν ἐστιν ἀληθὲς, ὅτι ἡ ἰσχὺς συμμεταβάλλει τῇ βουλήσει, καὶ ἀποφέρεταί τι ἀεὶ τῆς κατὰ τὸ μᾶλλον καὶ τὸ ἧττον ἐντάσεως τοῦ παρορμῶντος αἰτίου. Ὥστε ὁ πόνος, ἡ ἀρετὴ καὶ ἡ ἀνδρεία, εἴτε μέγα εἴτε μικρὸν ἰσχύει, ἀεί τι μεῖζον ἀνύει διαρκοῦντα καὶ ὑποστηριζόμενα καὶ ἀναδιπλούμενα, ἢ χαυνούμενα καὶ ἀνιέμενα καὶ περιτρεπόμενα. Ἐκ μὲν γὰρ τῆς ἀθυμίας, τὸ μὲν διαφέρον τῆς δυνάμεως εἰς τὸ μέτριον ἁπλῶς μεταπίπτει· τὸ δὲ μέτριον, εἰς τὸ οὐδενόσωρον· ἐκ δὲ τῆς προθυμίας, καὶ τὰ ἀσθενῆ ἰσχυρότερα γίνεται, καὶ τὰ ἰσχυρὰ πολλῷ ἀνυστικώτερα δείκνυται.

SISMANOGLIO MEGARO



§. 363. Ἡ ἄρα βούλησις καὶ ἡ ἐκτελεστικὴ δύναμις συνδέδενται ἀλλήλαις οὐχὶ διὰ τοῦ λόγου τῆς ταυτότητος ἢ τῆς ἰσότητος, ἀλλὰ τῆς ἁρμονίας καὶ τῆς συστοιχίας καὶ τῆς ἀναλογίας, λέγω δὲ οἷον, τὸ βούλεσθαι οὐ ταὐτόν ἐστιν οὐδ᾽ ἴσον τῷ δύνασθαι· ἀλλ᾽ ὅσῳ μᾶλλον ἢ ἧττον βούλεταί τις, τοσούτῳ μᾶλλον ἢ ἧττον καὶ δύναται. Συγκεφαλαιούμενοι τοίνυν τὰ περὶ τῆς *δυνάμεως*, εἴποιμεν ἂν ἁπλούστερον, ὅτι ἐνδομύχως μὲν πέφυκεν ἐντίκτειν νόημά τι ἢ πάθημα· ἔξω δὲ, μεταβολήν τινα θέσεως ἐμποιεῖν τῷ σώματι καὶ δι᾽ αὐτοῦ τῇ φύσει. Καὶ συντομώτερον δὲ, ἡ *δύναμις* συνίσταται ἐν τῷ παράγειν ἐνέργημά τι καὶ ἀποτέλεσμα διανοητικὸν ἢ φυσικόν.

§. 364. Ηον. *Ἕτεραί τινες ἀποδείξεις τῆς ἐλευθερίας.*— Ἱκανῶς μὲν οὖν δέδεικται, οἶμαι, ἐκ παρατηρήσεων σαφεστάτων τὸ πολλοῦ λόγου ἄξιον τοῦτο μέρος τῆς Ψυχολογίας· ἀλλ᾽ ἴσως οὐκ ἂν εἴη παντάπασιν ἀσυντελὲς, εἰ μᾶλλον ἐμπεδωσαίμεθα πρᾶγμα τηλικοῦτον καὶ ἐξ ἄλλων τινῶν ἀποδείξεων ἰδιαιτέρων,

συνηθεστέρων τε καὶ ψηλαφητοτέρων τοῖς πλείοσι. Τας μὲν οὖν διαφόρους περιστάσεις τῆς ἐλευθερίας οὐδαμῶς νῦν διαστέλλουμεν, καθόλου δὲ μᾶλλον αὐτὴν θεωρήσομεν, οὔτε παρατηροῦντες οὔτ᾽ ἀναλύοντες, ἀλλ᾽ ἀναγκαίως ἐνυπολανθάνουσαν δεικνύντες ἄλλοις τισὶν ὁμολόγοις καὶ αὐτοδήλοις· οὕτω γὰρ ἴσης ἐναργείας καὶ βεβαιότητος τούτοις μετέχουσα καὶ ἡ ἐλευθερία εὑρεθήσεται.

§. 365. Καὶ πρῶτον μέν ἐστι τὸ *καθῆκον*, ὃ καὶ παρ᾽ αὐτοῖς τοῖς περιφιλαύτοις καὶ πρὸς τὸ συμφέρον σφίσι πάντα διασταθμωμένοις, ἔργον ἀεί τι πρακτέον ἐστὶν, ὑπ᾽ αὐτοῦ τοῦ ὀρθοῦ λόγου ὑπαγορευόμενον. Πᾶσά τε γὰρ θρησκεία καὶ ἠθικὴ καὶ νομοθεσία συμφωνοῦσι κατά γε τοῦτο, ἅτε δὴ τέλος τι καὶ τάξιν τινὰ προτείνουσαι, καὶ πρὸς τὴν κατόρθωσιν αὐτῶν παρορμῶσαι παντοιοτρόπως, ὃ τὴν περὶ τοῦ καθήκοντος κοινὴν δόξαν διαβεβαιοῦται. Εἰ οὖν ἔστι τι, ὃ *δεῖ* πρᾶξαι, ἀνάγκη πᾶσα δύνασθαι *ἐλευθέρως* ἐξετάζειν, πότερον ἔνθεσμον ἢ ἄθεσμόν ἐστι τὸ πραχθησόμενον, καὶ πότερον συμφέρει ἢ μὴ χωρεῖν πρὸς τὴν τούτου ἐκτέλεσιν. Μηδεὶς δ᾽ ὑπολαμβανέτω, ὅτι κύκλον διάλληλον ἁμαρτάνομεν, τὴν ἐλευθερίαν διὰ τοῦ καθήκοντος δεικνύειν ἐπιχειροῦντες· οὐ γὰρ ἅμα νῦν καὶ τοὐναντίον συλλογιούμεθα, ἐκ τῆς ἐλευθερίας αὖ τὸ καθῆκον συνάγοντες, ὅτι δῆθεν διὰ τοῦτο ὀφείλοιμέν τι, διότι εἴημεν ἐλεύθεροι. Ἀλλὰ γὰρ παρατηροῦντες σαφῶς ἐν ἡμῖν τὴν ἠθικὴν καθυποχρέωσιν, ἀδύνατον εἶναι λογικῶς διϊσχυριζόμεθα, μὴ ταύτην ἀνάγεσθαι εἰς ἀρχήν τινα, ἐξ ἴσου καὶ ταύτην οὖσαν σαφῆ καὶ βεβαίαν. Καί τοι πρότερον τῇ γενέσει ἐστὶν ἡ ἐλευθερία τῆς καθυποχρεώσεως· προαπαιτεῖται γὰρ εἶναί τινα ἐλεύθερον πρὸ τοῦ ὑποβεβλῆσθαι νόμῳ τινί· ὁ δὲ τῆς ἐλευθερίας ἐστερημένος, οἷς ἀδύνατον πρᾶξαι, τούτοις ἂν καθυποχρεωθείη.

§. 366. Ἐκ δὲ τοῦ καθήκοντος ἐπέρχεται ἡ ἕξις τοῦ τηρεῖν αὐτὸ ἢ παραβιάζεσθαι, τουτ. ἡ *ἀρετὴ* καὶ ἡ *κακία*. Τίς δὲ ὁ τὴν ἀρετὴν καὶ τὴν κακίαν, ὁ τὰς ἀγαθὰς καὶ τὰς κακὰς πράξεις ἀρνούμενος; οὐδεὶς, εἰμὴ μόνον ἀμφισβητοίη περὶ τοῦ τίνες εἰσὶν αὗται. Οὐδεὶς γὰρ ἂν εἰπεῖν τολμήσειεν· *οὐκ ἔστιν ἀγαθὸν ἢ κακόν*· ἀλλὰ μόνον, *τόδε τί ἐστιν ἢ οὐκ ἔστιν ἀγαθὸν ἢ κακόν*.

SISMANOGLIO



Ἀντίφασις δὲ σαφὴς ἀγαθὸν μέν τινα ἢ πονηρὸν ἄνδρα εἶναι, εἶτα ἐλευθερίας μὴ εὐμοιρεῖν. Ἕκαστος δ᾽ ἑαυτὸν χρηστὸν ἢ φαῦλον ὑπολαμβάνων, πέποιθεν ὢν τοιοῦτος ἀπό γε τῆς διαγωγῆς τοῦ κατ᾽ αὐτὸν βίου, ἔργον τοῦθ᾽ ἑαυτοῦ λογιζόμενος, καὶ οὐχὶ ἀκαταμαχήτου τινὸς καὶ ἀφύκτου εἱμαρμένης.

§. 367. Τὸ *ἀξιέπαινον* καὶ τὸ *ἀξιόμισθον*, ἢ ὁ *ἔπαινος* καὶ ὁ *ψόγος*, ὥσπερ ἡ ἀρετὴ καὶ ἡ κακία, αἷς παρακολουθοῦσι δεικνύουσιν ὅτι ἀδύνατόν τινα κρίνεσθαι ἀξιόμισθον ἢ ἀξιόποινον, εἰμὴ ἐλευθέρως τὸν βίον αὐτοῦ διεξάγει. Τίς γὰρ ὀνομάσει οὕτω τὰ ἀνάγκῃ δουλεύοντα τῶν ὄντων; περὶ τούτων γὰρ ἁπλῶς ἀποφαινόμεθα, ὅτι *τόδε τι πράττει*· ἀλλ᾽ οὔτε δοκιμάζομεν οὔτε ψέγομεν τὴν πρᾶξιν αὐτῶν.

§. 368. Ταὐτὰ δὲ ῥητέον καὶ περὶ τῆς *κολάσεως* καὶ τῆς *βραβεύσεως*· ἀνάγκη γὰρ ἐλεύθερον εἶναι τὸν πείσεσθαι ταῦτα μέλλοντα· ἀδικία γὰρ ἀφόρητος τὸ τιμῆσαι ἢ κολάσαι τὸ ἀκούσιον. Ἐὰν δέ ποτε καὶ περὶ τῆς ἀπροαιρέτου πράξεως γνώμην ἀποφαινώμεθα, κατὰ νόμον ζημιοῦντες ἢ βραβεύοντες, ἐνταῦθα ἐξ ἀγνοίας τὸ ἀκούσιον ἐν τῇ τοῦ ἑκουσίου τάξει τιθέμεθα.

§. 369. Ἀλλὰ τί λαμπρότερον τῆς ἐλευθερίας δεῖγμα, ἢ ἡ ἐνδόμυχος τύψις ἢ εὐφροσύνη, ὅταν ἑαυτοῖς συνειδῶμεν φαῦλα ἢ χρηστὰ πεπραχόσι; Τὸ μὲν γὰρ θυμοδακὲς βαθεῖα λύπη ἐστὶν εἰς ἀγανάκτησιν μετατρεπομένη· ἀλγοῦμεν δ᾽ ἐφ᾽ ἑαυτοῖς, πικρῶς κολαζόμενοι καὶ μεταμελούμενοι, ὅτι ἑκόντες αὐτουργοὶ τῆς κακίας καὶ τῆς ἁμαρτάδος γεγόναμεν, ὅπερ ὁμολογουμένως ἀδύνατόν ἐστι συμβῆναι τοῖς μὴ ἑκουσίως ἀδικοῦσιν. Εἰ γὰρ ἡ οἰκτρὰ ἡμῶν κατάστασις ἔργον ἦν οὐχ ἡμέτερον, οὔτε προϊδεῖν οὔτε κωλῦσαι δυναμένων, ἀλλὰ τῆς ἀναγκαίας καὶ ἀναποφεύκτου φορᾶς τῶν πραγμάτων, ἠλγοῦμεν ἂν καὶ τότε οὐχὶ καθ᾽ ἡμῶν αὐτῶν, ἀλλὰ κατὰ τῶν αἰτίων τῆς ἡμῶν δυστυχίας· ἁπλῶς δ᾽ ἂν λύπη τότ᾽ ἦν τὸ γινόμενον ἐν ἡμῖν καὶ οὐχὶ μετάμελος. Ἡ δὲ θυμηδία καὶ εὐφροσύνη ἐπὶ τοῖς ὑφ᾽ ἡμῶν πεπραγμένοις ἐστὶ μὲν ἡδονὴ, οὐκ ἐπ᾽ ἀγαθῷ δ᾽ ἑτέρωθεν ἡμῖν συμβαίνοντι, ἀλλ᾽ ἐπὶ ταῖς οἰκείαις ἡμῶν πράξεσιν, ἐπὶ τῇ ἀρετῇ ἡμῶν, ἣν μετὰ μόχθου καὶ ἐπιμονῆς κα-

τωρθώκαμεν. Ἀποδεχόμεθα οὖν καὶ ἀγάμεθα ἡμᾶς αὐτοὺς ὡς τὰ ἀγαθὰ ἑκουσίως προελομένους· ὅσα δ' ἀγαθὰ ἐν ἡμῖν ἔργον ἐστὶν οὐχ ἡμέτερον, τέρπει μὲν καὶ ταῦτα, ἀλλ' οὐκ ἐνστάζει τὴν ἀμύθητον ἐκείνην καὶ λεπτὴν ἡδονήν, ἣν πέφυκεν ἡμῖν βραβεύειν ἡ ἠθικὴ συνείδησις ἐν τῇ αὐτουργήσει τῆς ἀρετῆς.

§. 370. Πάντα οὖν τὴν ἐλευθερίαν ὑποτίθησιν· ἥτε γὰρ δέησις καὶ ἡ παραίνεσις καὶ ἡ κέλευσις, καὶ πάντα τὰ λεγόμενα τῷ ἀνθρώπῳ πρὸς μεταβολὴν ἢ ἐπανόρθωσιν ἢ ὑποστήριξιν τῆς τοῦ βίου διαγωγῆς, ἀναγκαίως ἀποδεικνύει ἐνεῖναι αὐτῷ τὸ αὐτοκρατὲς καὶ αὐτοκυβέρνητον. Ἔτι δὲ ἡ ἀγωγή, ὁ πολιτισμός, καὶ αὐτὴ τῶν κοινωνιῶν ἡ σύστασις, τεκμήριά ἐστι τρανὰ τῆς τοῦ ἀνθρώπου ἐλευθερίας. Ἐκ τούτων οὖν ἀνομολογητέον τὴν ἀλήθειαν ταύτην, ἣν ἄτοπον καὶ ὀλέθριον ἂν εἴη μὴ παραδέχεσθαι. (α)

(α) Ἐνταῦθα περαίνοντες τὸ περὶ τῆς Ἐλευθερίας δόγμα τοῦ Συγγραφέως, ὑποσημειοῦμεν ἐν ἐπιτόμῳ, ὅτι ἕτεροι Ψυχολόγοι κυρίαν ὑπόθεσιν τὴν Βούλησιν λαμβάνουσι, δεικνύντες ὅτι ἐστὶ 1ον μία, (οὐδαμῶς δηλαδὴ ποικιλλομένη ἐκ τῆς πληθύος τῶν ἐξ αὐτῆς προϊόντων, ὅπου γε ἡ νόησις καὶ ἡ πάθησις διαφέρουσιν ὡς ἐκ τῶν περὶ ἃ στρέφονται·) 2ον ἡ αὐτή, (οὐδεμίαν δηλαδὴ αὐξομείωσιν ἐπιδεχομένη ἐκ τῶν περιστάσεων τῶν συμβαλλομένων ἢ μὴ εἰς τὴν τοῦ ἀποτελέσματος πλήρωσιν· διὸ καὶ ἄκυρον ἂν εἴη λέγειν γενναίαν ἢ ἀγενῆ βούλησιν κτλ. ἡ δ' ὅμως τῆς νοήσεως καὶ τῆς παθήσεως ἐνέργεια παραπολαύει τῶν διαφόρων καιρῶν, νῦν μὲν ἰσχυροτέρα, νῦν δ' ἀδρανεστέρα εὑρισκομένη·) 3ον ἴση, (τὴν αὐτὴν δηλαδὴ δύναμιν ἔχουσα παρὰ πᾶσι τοῖς ἀνθρώποις·) 4ον ἄπειρος, (ἐν ἑαυτῇ δηλαδὴ πάντα δυναμένη ἀκωλύτως ἀποφασίζειν, εἰ καὶ ἐνεργείᾳ ἐλάχιστα εἰς πέρας ἄγει· ἀλλὰ τοῦτο οὐ τῆς βουλήσεως, ἀλλὰ τῆς ἐκτελεστικῆς δυνάμεως·) 5ον ἐλευθέρα, (ὅτι καθ' ἑαυτὴν ἀμετάθετος καὶ ἀμετάβλητος διαμένειν πέφυκε, κἂν πτίσσῃ τις καὶ καταῤῥάσσῃ τὸν θύλακον ταύτης.) Ἀλλὰ περὶ τούτων ἄλλοτε πλατύτερον· νῦν δ' ἐν παρόδῳ ἁπλῶς τὴν χορδὴν ἐκρούσαμεν ταύτην, ἐμμένειν ἀγαπῶντες τοῖς προκειμένοις, ἄλλως τε καὶ ἵνα μή τις σύγχυσις προκύψῃ μεθόδων.

SISMANOGLIO



## ΚΕΦΑΛΑΙΟΝ Γ$^{ον}$. (Τέλος καὶ συμπέρασμα.)

### 2$^{ον}$. *Περὶ τῆς ἐλευθερίας θεολογικώτερον θεωρουμένης.*

§. 371. Ἐπεὶ ἱκανῶς ἀποδέδεικται καὶ ἡρμήνευται ἡ ἐν τῷ ἀνθρώπῳ ἐλευθερία, ὅσα γε πρὸς *Ψυχολογίαν*, ἤρκεσεν ἂν τὰ μέχρι τοῦδε περὶ αὐτῆς εἰρημένα, εἰμὴ καὶ ἑτέρα τις ἐπιστήμη ἡ *Θεολογία* ἐπραγματεύετο περὶ τοῦ αὐτοῦ ὑποκειμένου· ἀναγκαῖον οὖν ἐξετάσαι εἰ ἑκατέρα τῶν ἐπιστημῶν εἰς τὴν αὐτὴν ἥκοι τοῦ προβλήματος λύσιν. Τέσσαρες δὲ περὶ τούτου δόξαι φέρονται· ὧν ἡ μὲν θύει τὴν αὐτεξουσιότητα τῇ θείᾳ προγνώσει· ἡ δὲ τοὐναντίον ὑπὲρ τῆς αὐτεξουσιότητος ἀφειδεῖ τῆς προγνώσεως· ἡ δὲ τρίτη δέχεται μὲν ἀμφοτέρας, ἀλλ' οὐκ ἀποχρώντως συνδιαλλάττει ἀλλήλαις· ἡ δὲ τετάρτη σαφέστερον ἀξιοῖ συμβιβάζειν καὶ ἐξηγεῖσθαι. Ἐπέλθωμεν τοίνυν ἑκάστην τούτων τῶν τεσσάρων αἱρέσεων.

§. 372. Α$^{ον}$. *Σύστημα δεχόμενον μὲν τὴν θείαν πρόγνωσιν, ἀναιροῦν δὲ τὴν αὐτεξουσιότητα.* — Ἐπειδή, φασιν, ὁ Θεὸς πάντ' οἶδε τάτ' ἐόντα, τάτ' ἐσόμενα πρότ' ἐόντα, καὶ οὐδὲν οὐδαμῶς ἐκφεύγει τὴν παγγνωσίαν αὐτοῦ· ἀδύνατον δὲ τοῦτο προσεῖναι τῷ Θεῷ, εἰμὴ τὸ ἐσόμενον παντάπασι συμφωνοίη τῇ γνώσει ταύτῃ τῇ ἀλαθήτῳ, τάξιν δή τινα ἐντεῦθεν συνάγουσιν ἀμετάβλητον καὶ ἀναγκαίαν καὶ νόμοις ἀναλλοιώτοις διεπομένην. Ἐκ δὲ τούτου πάντα ἀνάγκῃ τινὶ ἀφύκτῳ ὑπόκειται, οὐ μόνον ἡ ἀναίσθητος καὶ ἄλογος φύσις, ἀλλὰ καὶ αὐτὸς ὁ ἄνθρωπος· ὅπερ ἄγει εὐθὺ εἰς τὸ δόγμα τοῦ ἀπολύτου *προορισμοῦ*. Οὕτω γὰρ πολλάκις καὶ ἡ ὑπερβολὴ τῆς εὐσεβείας καὶ δεισιδαιμονία περὶ τὰς θείας τελειότητας, ἀξιοῦσα μὲν ὑπεραύξειν καὶ ἐξαίρειν τὸ θεῖον διὰ τῆς ἐξευτελίσεως τῶν κτισμάτων καὶ μάλιστα τοῦ ἀνθρώπου, κυρίως δὲ ταπεινοῦσα καὶ κατασμικρύνουσα τοῦτο· (τὸ γὰρ μεγαλεῖον τοῦ Ποιητοῦ ἐκ τῆς ἀξίας τοῦ ποιήματος ἀναδείκνυται·) καὶ ὡς ἔπος εἰπεῖν ἡ ἄγνοια ἢ ἡ λήθη τῶν ἀποδεικνύντων τρανῶς τὴν

αὐτεξουσιότητα, ταῦτά ἐστι τὰ παρεκτρέποντα εἰς τὴν τοιαύτην ἀλλόκοτον δοξασίαν.

§. 373. Ἀλλ' ἡ αἵρεσις αὕτη οὐ μόνον πλανᾶται ὡς πρὸς τὴν θεωρίαν, ἅτε δὴ ἀρνουμένη μὲν πασίδηλόν τινα δύναμιν τῆς ἀνθρωπίνου ψυχῆς, διαστρέφουσα δέ τι καὶ τῶν θείων προσόντων· ἀλλὰ καὶ ὡς πρὸς τὸ πρακτικὸν εἰς ὄλεθρον οἴχεται ὁ ἀκριβῶς αὐτῇ κατακολουθῶν, ὡς ἀναιροῦσῃ τὸ ἀγαθὸν καὶ τὸ κακὸν, τὴν ἀρετὴν καὶ τὴν κακίαν, τὴν ἐργασίαν, τὴν βιομηχανίαν, τὴν καλλιτεχνίαν, τὴν πολιτικὴν καὶ τὴν πρόοδον τῆς κοινωνίας, καὶ συνελόντι φάναι, πάντα τὰ προϊόντα τῆς ἐλευθέρας τοῦ ἀνθρώπου ἐνεργείας. Ἐκ δὲ τῆς Ψυχολογίας διαφθείρει καὶ τὴν Ἱστορίαν, πάσας τάς ποτε κοινωνίας παρεξηγουμένη, καὶ τῇ ἀνάγκῃ τοῦ πεπρωμένου καθυποβάλλουσα ὁμοίως τοῖς ἐν οὐρανῷ κυλινδουμένοις σώμασιν. Οἷον γὰρ ἐν τροχιαῖς τισιν ἄρα περιδινεῖται καὶ τὰ συστήματα τῶν ἀνθρώπων, ποικίλας μὲν μορφὰς προφαίνοντα, διαφόρους δὲ περιόδους συμπεραίνοντα, καὶ φορᾷ τινι ἀστρονομικῇ, οὕτως εἰπεῖν, ὑπαγόμενα, οὐχ ἧττον ἀπαρεγκλίτῳ, ἀπαραβιάστῳ καὶ ἀμεταβλήτῳ· ἡ αὐτὴ γὰρ ἀνένδοτος χεὶρ ἐν διαφερούσῃ κινήσει κατεπείγει ταῦτά τε καὶ ἐκεῖνα. Ἀλλὰ πάντως γε τὰ ἐκ τοιούτου δόγματος ἄτοπα ἄρδην αὐτὸ καταστρέφει, ἅμα μὲν ψευδὲς, ἅμα δ' ὀλέθριον ἐξελέγχοντα. Ὃ δὲ τῆς δόξης ταύτης ἐστὶν ἀλογώτατον· καὶ γὰρ ἀξιοῦσα καὶ ἀγωνιζομένη, ὅπως ἐντεῦθεν ἀνυψώσῃ ὡς μάλιστα τὴν θείαν φύσιν, εἰς πᾶν τοὐναντίον εὑρίσκεται περιϊσταμένη· ὁ γὰρ Θεὸς οὐκ ἔσται κατά γε τὴν ὑπόθεσιν ταύτην δημιουργὸς ἠθικῶν καὶ αὐτεξουσίων ὄντων, δυναμένων καὶ αὐτόθεν ἐπαρκεῖν ἑαυτοῖς καὶ περαίνειν ἑκουσίως τὸ οἰκεῖον ἔργον, καὶ αὐτουργεῖν οἷον δήποτε. Οὐκ ἔσται ἄρα ποιητὴς δημιουργήματος κρατίσου τινὸς καὶ θεοεικέλου, οἰκείαις χερσὶ διεξάγειν καὶ κυβερνᾷν ἑαυτὸ ἐν πολλοῖς πεφυκότος· ἔσται τοίνυν κατὰ ταῦτα ἧττον Θεὸς, ὡς ἄγαν μὲν καὶ καθ' ὑπερβολὴν *προγνώστης* ὑποτιθέμενος, οὐχὶ δὲ καὶ *παντοδύναμος* ἅμα, οἷά περ τοιοῦτον ἐξαίρετον ποίημα ἀδυνατῶν παραγαγεῖν. Οὕτω δὴ καὶ αἱ μάλιστ' ἀγαθαὶ προαιρέσεις, ὅταν ὦσι ψευδεῖς, ἀστοχοῦσι τοῦ τέλους πρὸς ὃ ἐπιτείνουσι.

SISMANOGLIO MEGARO



374. Β^ον· *Σύστημα ἀρνούμενον τὴν πρόγνωσιν ὑπὲρ τῆς ἐλευθερίας.*—Εἰς τοῦτο καταντῶσιν οἱ δοξάζοντες τὸν ἄνθρωπον οὐχ ὅτι εἶναι αὐτεξούσιον, ἀλλὰ καὶ παναυτεξούσιον, ζῆν τε καὶ πράττειν ἐπὶ τῆς γῆς ἀπηλλαγμένον καὶ ἀνεξάρτητον τῆς δημιουργικῆς αἰτίας· πλασθεὶς γὰρ ἅπαξ οἷον ἀπολέλυται τοῦ πλαστουργοῦ, ἐν μηδενὶ δεσμῷ μετ' αὐτοῦ συναπτόμενος, ἀλλ' αὐτοδοκήτως καὶ αὐθεκάστως περαίνων τὰ κατὰ τὸν βίον, ἑνὶ ἁπλῶς νόμῳ προσαρμοζόμενος, ὃν ἂν αὐτὸς ἑαυτῷ δηλονότι ἕληται ἐξ ἰδίας βουλήσεως. Ἐντεῦθεν οὐδεμία μὲν προνοητικὴ κυβέρνησις ἐν τῷ σύμπαντι· οὐδεμία δὲ τάξις θεοχάρακτος ἐν τῇ ἀλληλουχίᾳ τῶν ἱστορικῶν συμβεβηκότων· οὐδὲν ὅλως τὸ ζευγνύον καὶ συνάπτον τὴν γῆν καὶ τὸν οὐρανὸν πρὸς ἄλληλα· αἱ τῶν ἀνθρώπων κοινωνίαι οὐκ ἔργον εἰσὶ τῶν θείων βουλῶν, ἀλλὰ γενεαὶ γενεὰς διαδέχονται εἰκῇ καὶ ἀλόγως καὶ ἄνευ τινὸς τελικοῦ αἰτίου· καὶ μυρίαι μὲν μυριάδες ἀτόμων συνεισωθοῦνται ἀγεληδὸν καὶ συνθλίβονται, ἄλλος ἄλλον διώκοντες ἢ φεύγοντες, προσαγόμενοι ἢ ἀποκρουόμενοι, καὶ συμμιγνύμενοι ἐν τῷ βίῳ παντοιοτρόπως· ἀλλ' ἐν τῇ ποικιλοστρόφῳ ταύτῃ φορᾷ οὐδεμία περαίνεται πρόοδος, οὔτε πτῶσις οὔτε ἀνύψωσις οὔτ' ἐπιστροφή· μισγάγκυια δέ τις ἀληθῶς πάντα ταῦτα καὶ θροῦς ἀνεμώλιος· οὐδαμοῦ γὰρ τούτων Θεὸς ἐγρηγορεῖ, οὐδ' ἔστιν ὁ ἀπειροσόφως ὑπογράφων καὶ ὑποδεικνὺς τοῖς συμβαίνουσι τὴν προσφορωτάτην πορείαν, οὐδ' ὁ συναρμολογῶν ταῦτ' ἀλλήλοις πρὸς τὸ ἄριστον, οὐδ' ὁ ἐξοικονομῶν τὰ περὶ τὸν ἄνθρωπον οὕτως, ὥστε διὰ χρόνου προκύπτειν ἐξ ἁπάντων τὸ τελειότερον ἀεὶ καὶ τὸ κρεῖττον. Οὐ γάρ που τὸ Θεῖον καταδέχεται τοιαύτας μικρομερίμνας, ἀλλ' ὥσπερ εἰ ἀπέχρη μόνον δημιουργῆσαι, εἴασε λοιπὸν τὴν κτίσιν αὐτόματον χωρεῖν, αὐτὸ οὐ φροντίζον οὐδὲ συντηρεῖν οὐδ' ἐπανάγειν ἀεὶ τὴν συνταρασσομένην ἁρμονίαν. Τοιαῦτα δὲ πάντως ἀκολουθεῖ καὶ τῇ προκειμένῃ δόξῃ.

§. 375. Τὴν μὲν οὖν ἀναίρεσιν καὶ ταύτης τῆς ἀτοπίας οὐ λεπτολογήσομεν· ἐκεῖνο δὲ μόνον ἀντεροῦμεν, ὅτι ἔστι μὲν ὁ ἄνθρωπος ἐλεύθερος, οὐκ ἔστι δ' ἀπεριόριστος ἡ ἐλευθερία αὐτοῦ, ὡς ἀποχρώντως ἡμῖν προαποδέδεικται. Ἐκ δὲ τοῦ περιορισμοῦ τούτου

καλλίστη σύμβασις τῆς τοῦ ἀνθρώπου ἐλευθερίας πρὸς τὴν τῆς προνοίας διεξαγωγὴν συνάγεται· ὅτι αὐτεξούσιος ὢν ἐν πλείστοις ὅσοις, ἐν ταῖς περιστάσεσι τοῦ χρόνου τε καὶ τοῦ τόπου, ἐν τῷ πρᾶξαι ἢ μὴ τόδε τι, ἐν τῷ στῆναι ἢ προβῆναι κτλ., οὐκ ἔστι διὰ τοῦτο καὶ παντάπασιν ἀπολελυμένος τοῦ Θεοῦ, ἀλλὰ δέχεται παρ' αὐτοῦ διηνεκῶς ἀφορμὰς καὶ ὑπονύξεις, κατευθυνούσας πρὸς τὸ ἀληθὲς καὶ κύριον τέλος τῆς αὐτοῦ φύσεως. Οὕτω γὰρ μόνον ὁ δισταγμὸς ἐκλείπει· ὅ τε γὰρ ἄνθρωπος ἕξει τι τέλος, τά τε ἔθνη πληροῖ τινα ὁρισμόν, ἥ τε ἱστορία κατά τινα νόμον ἐπικρατέστερον ἀλληλουχεῖται· ὥστε οὐκέτι ζητεῖται, εἰ ἔστι τάξις τις ἐν τοῖς ἠθικοῖς, ἀλλὰ τίς ἐστιν ἡ τάξις αὕτη, καὶ τί προτίθεται, πότερον τὴν κάθαρσιν ἢ τὴν παιδαγωγίαν, τὴν ποινὴν ἢ τὴν δοκιμήν· καὶ πότερον ἐνταῦθα ἐκπληροῦται ἢ εἰς ἕτερον βίον· πολλὰ γὰρ ἀναφύεται ζητήματα περὶ τῆς προνοητικῆς διεξαγωγῆς τῶν ἀνθρωπίνων πραγμάτων, ἃ ὀρθῶς ἢ μὴ λυόμενα, ἀναμφισβήτητον ὅμως τίθεται τὴν τῆς θείας Προνοίας ἐπενέργειαν πρὸς τὸν καθ' ἡμᾶς βίον.

§. 376. Γον· *Σύστημα δεχόμενον μὲν ἀμφοτέρας, τήν τε πρόγνωσιν καὶ τὴν ἐλευθερίαν, ἀλλ' οὐ συμβιβάζον αὐτὰς διὰ πάσης τῆς σαφηνείας.*—Οἱ ἀμφοτέρων, τῆς τε θείας προγνώσεως καὶ τῆς ἀνθρωπίνου ἐλευθερίας προϊστάμενοι, μυρίων ἐπαίνων εἰσὶν ἄξιοι, ὅτι οὐ μόνον τὸ ἐξαίρετον τοῦ Ποιητοῦ ὁμολογοῦσιν, ἀλλὰ καὶ τὸ μέγεθος τοῦ ποιήματος διασώζουσιν. Ἡ μὲν οὖν προαίρεσις ἀγαθή· ἡ δὲ προτεινομένη ἐξήγησίς ἐστιν ἥδε· ὅτι ἡ πρόγνωσις οἷον γνῶσίς τις ἢ ἔννοια τοῦ ἐσομένου ἐστίν· ἡ δ' ἔννοια ᾗ ἔννοια, ἁπλοῦν ἐνέργημα τοῦ νοὸς οὖσα, οὐδαμῶς ἅπτεται τῶν ὄντων πρὸς ἃ ἀναφέρεται, οὐδὲ μετατρέπει αὐτὰ ὁπωσοῦν, ἀλλ' ἀνεπάφους ἐᾷ καὶ ἀθίκτους παντάπασι τὰς ἐνούσας αὐτοῖς ἰδιότητας, τὴν ἐλευθερίαν φημὶ ἢ τὴν ἀναγκαιότητα. Ὥστε ὁ Θεὸς προγινώσκων τὰ τῶν ἀνθρώπων, θεατὴς μόνον ἕστηκε τῶν πραχθησομένων αὐτοῖς· ἁπλῇ γὰρ νοήσει μόνον κοινωνεῖ, ἔργῳ δ' οὐδαμῶς ἀναμίγνυνται ταῖς τοῦ βίου πράξεσιν, οὔτ' ἐμποδίζει τὰ κατὰ τοὺς νόμους καὶ τὰς δυνάμεις τῆς ἀνθρωπίνου φύσεως γινόμενα, λέγω δὴ τὰ αὐτεξουσίως,

SISMANOGLIO MEGARO



ὡς τὴν αὐτεξουσιότητα ἔμφυτον καὶ οὐσιώδη οὖσαν τῷ ἀνθρώπῳ. Κατά γε οὖν τοῦτο ἡ πρόγνωσις ἔργῳ οὐ μεταβάλλει τὸ ἐσόμενον, ὥσπερ οὐδ' ἡ μνήμη τὸ γεγονός· ἑκατέρωθεν γάρ ἐστιν αὐτόχρημα ἔποψις, οὐχὶ δὲ καὶ ἐπενέργεια.

§. 377. Ταῦτα μὲν οὖν ὀρθῶς δοκεῖ λέγεσθαι· ἀλλ' ἔχει καί τινας ἀπορίας. Ὅτι μὲν γὰρ τὸ προορᾶν οὐκ ἔστι τελεῖν τὸ προορώμενον, καὶ αἱ πράξεις πρὶν ἢ γένωνται, διά γε τὸ ὑποπίπτειν τῇ τοῦ νοὸς ἀντιλήψει οὐκ ἔσονται καὶ ἔργον ἢ ἀποτελέσματα ταύτης τῆς ἀντιλήψεως, τοῦτ' ἀληθέστατα λέγεται· τῇ γὰρ ἁπλῇ ταύτῃ νοήσει ἔδει συνδραμεῖν καί τινα ποιητικὴν δύναμιν τὸ ἐσόμενον ἐνεργήσουσαν· ἄλλως γὰρ ὁ νοῦς μηδενὶ μὲν ὀργάνῳ δραστικῷ χρώμενος, ἔννοιαν δὲ μόνον τοῦ ἐσομένου ἔχων, θεῷτο μέν, ἀλλ' οὐκ ἂν δρῴη αὐτό· ὥστε μάρτυς μὲν ἂν εἴη, αὐτουργὸς δὲ οὐχί, ἀλλὰ διαμένοι ἀλλότριος πρὸς τὸ δραματουργούμενον ἐνώπιον αὐτοῦ θέαμα. Αὐτίκα γὰρ ὁ Φυσιολόγος, ὁ διὰ τῆς ἀστρονομικῆς ἐπιστήμης ἀλαθήτως προλέγων τὰ ἐν οὐρανῷ γενησόμενα, οὐδαμῶς ἐνεργεῖ εἰς τὴν τούτων ἔκβασιν· ἀλλὰ καὶ πᾶς τις ἐμπειρίαν ἔχων φυσικῶν τινων νόμων, καὶ προγινώσκειν ἐκ τούτων δυνάμενος τὸ ἐσόμενον, οὔτε ποιεῖ οὔτ' ἐπιβάλλει τοὺς νόμους τούτους. Πάντα μὲν οὖν τὰ διακρίνοντα τὴν πρόγνωσιν ἀπὸ τῆς παραγωγικῆς καὶ ποιητικῆς αἰτίας, εὔλογά τέ ἐστι καὶ λίαν σαφῆ.

§. 378. Ἀλλ' ἐπειδὴ ὁ λόγος περὶ θείας ἐστὶ προγνώσεως, οὕτω πληρεστάτης ἅμα καὶ ἀψευδεστάτης ὑποτιθεμένης, ὥστε οὐδὲν ὅλως τῶν ἐσομένων αὐτὴν ἐκφεύγειν, τοῦτο δοκεῖ συνεισάγειν ὅτι τὰ πράγματα ἐκβήσεται πάντως, ὡς ἂν ὁ ὑπέρτατος νοῦς αὐτὰ καθορᾷ· ἵνα δὲ καθορᾷ ταῦτα ἀληθῶς καὶ ἀσφαλῶς, ἀνάγκη γεωμετρικώτερον προβαίνειν καὶ ἀλληλουχεῖσθαι, κατά τινα τάξιν συνδυαζόμενα μὴ ἐνδεχομένην, (τουτ. δυναμένην ὑπάρξαι καὶ μή·) καὶ τηρεῖν ἀμεταβλήτους πάσας τὰς ἐνούσας ἀναφοράς, καὶ συνᾴδειν παντάπασι τῇ ἐναργέστατα κατανοουμένῃ ἐν αὐτοῖς ἁρμονίᾳ· οὕτω γὰρ οὐδ' ἂν τὸ ἐλάχιστον ψεύσειε τὴν ἀνεπισφαλῆ τοῦ μέλλοντος πρόγνωσιν· ὃ δὴ καὶ παρὰ πᾶσιν ὁμολογεῖται περὶ τῶν κατ' ἀνάγκην φερομένων ἐν τῇ φύσει. Ἀλλ' ἵνα ὁ ἄνθρωπος διαμένῃ

ἐλεύθερος, αὐτὸς ὢν ἀρχὴ καὶ αἰτία ἐνεργημάτων τινῶν, καὶ οἴκοθεν ἔχῃ προαιρεῖσθαι καὶ διορίζεσθαι ἔν τισι περιστάσεσι, δεῖ πάντως τὰς πράξεις αὐτοῦ ἐκ τῶν ἐπίσης ἐνδεχομένων εἶναι, τουτ. ἀβέβαιόν τι ἔχειν καὶ ἀδιόριστον, ὥστε δύνασθαι γενέσθαι καὶ μή· ἡ δὲ τοιαῦται ἀβέβαιοι καὶ ἀδιόριστοι, ἐνδεχόμεναι καὶ μὴ γεωμετρικαῖς ἀνάγκαις ἀλληλουχούμεναι, πῶς οὕτως ἀληθῶς καὶ ἐναργῶς προγνωσθήσονται, ὥσπερ καὶ τὰ βεβαιότατα καὶ ἀφύκτῳ ἀνάγκῃ χωροῦντα; Ἐκ μὲν οὖν τῆς καθολικῆς προγνώσεως κινδυνεύειν δοκεῖ ἡ τοῦ ἀνθρώπου ἐλευθερία· ὅτι οὐδὲν τότε παρὰ τῷ Θεῷ ἐνδεχόμενον καὶ ἄδηλον, ἀλλὰ καὶ αὐτὰ τοῦ ἀνθρώπου τὰ ἔργα γενήσεται κατ' ἀνάγκην ὡς προγινώσκεται· ἐκ δ' αὖ τῆς ἐλευθερίας μέλλον τι συνεισάγεται ἄδηλον, ἐνδεχόμενον, μηδαμῶς βαῖνον κατ' ἀναγκαίας καὶ ἀδιαῤῥήκτους ἀναφοράς· ἵνα δὲ τὸ τοιοῦτο μέλλον διαμένῃ ἀμφίῤῥοπον καὶ ἐν ἀμφιβόλῳ, ὥστ' ἔχειν τὸν ἄνθρωπον ἀφ' ἑαυτοῦ διορίζεσθαι, ἀνάγκη πᾶσα τοῦτο νοεῖσθαι οὐχ ὥσπερ τὰ ἐν τῇ φύσει ἀναπόδραστα ἐνεργήματα, τὰ ἄλλως πως γενέσθαι μὴ δυνάμενα. Ὁποτέρωθεν δ' ἂν αἱ τοῦ ἀνθρώπου πράξεις ἀναπόδραστοι γίγνωνται, εἴθ' ὡς ἐξ αἰτίας τινὸς ποιητικῆς, αὐτῆς ταύτης διενεργούσης ἐν αὐτῷ δραστηρίως· εἴθ' ὡς ἐκ τῆς προγνώσεως τῆς συνεισαγούσης τὴν ἀνάγκην διὰ τὸ αὐτῆς ἀναμάρτητον, οὐδὲν διαφέρειν δοκεῖ. Τοῦτο οὖν ἐστι τὸ σαφεστέρας ἑρμηνείας χρῆζον, ὅτι ὁ Θεὸς προορῶν μετὰ πάσης τῆς βεβαιότητος τὰς τοῦ ἀνθρώπου πράξεις, ἃς αὐτὸς οὔτε πέπραχέ πω, οὔτε μὴν ἐννενόηκεν, οὐχ ἧττον ὅμως ἀνεπάφους καὶ ἐνδεχομένας καταλείπει. Ἀλλ' ἔλθωμεν καὶ ἐπὶ τὴν τελευταίαν δόξαν, τὴν καινότερον ἀξιοῦσαν συνδιαλλάττειν ἀμφότερα. (α)

(α) Ὅτι μὲν τὸ περὶ θείας προγνώσεως ἅμα καὶ ἀνθρωπίνου ἐλευθερίας, ἔχει ἀσάφειαν οὐ μικράν, τοῦτο παντί που δῆλόν ἐστιν. ἀλλ' ἡ ἀσάφεια αὕτη προέρχεται ἐκ τοῦ μὴ δύνασθαι διιδεῖν εἰς τὰ ἄδυτα τῆς θείας φύσεως, καὶ ὁρίσασθαι ἀκριβῶς τὴν ὑπερφυᾶ πρόγνωσιν, ὃν τρόπον οὐδὲν τῇ τοῦ ἀνθρώπου λυμαίνοιτο αὐτεξουσιότητι. Διὰ τοῦτο καὶ Βοσσουέτος ἔλεγεν, ὅτι ἑκατέρᾳ μὲν ταῖν χεροῖν κατέχοιμεν ὡς δύο τινὰς κρίκους τὴν πρόγνωσιν καὶ τὴν ἐλευθερίαν, δύο ἀληθείας λαμπροτάτας οὔσας καὶ ἀναμφισβητήτους· ἀλλ' οἱ δύο οὗτοι κρίκοι δι' ἁλύ-



§. 379. Δον· *Σύστημα πειρώμενον συμβιβάζειν σαφέστερον τὴν πρόγνωσιν πρὸς τὴν ἐλευθερίαν.*—Ὡς οὖν ἐν τύπῳ διαλαβεῖν τὴν προκειμένην δόξαν, ἡ μὲν πρόγνωσις διήκει μόνον διὰ πάντων τῶν ἀναποδράστων· ἡ δ' ἐλευθερία ἀποτείνεται πρὸς τὰ ἐπίσης ἐνδεχόμενα, ἃ προγινώσκειν αὐτὸς οὐκ ἠθέλησεν ὁ Θεὸς δι' αὐτὸ τοῦτο, ὅτι αὐτεξούσιον τὸν ἄνθρωπον ἐδημιούργησε, καὶ ἐν χερσὶν αὐτοῦ ἔθηκε πολλῶν τὴν ἀποπεράτωσιν. Καὶ ἄλλως δὲ εἰπεῖν, ὅπου ἡ πρόγνωσις ἄρχεται φαίνεσθαι, ἐκεῖ ἡ ἐλευθερία ἵσταται· καὶ τοὐναντίον, περὶ ὅσα ἡ ἐλευθερία περιστρέφεται, τούτων ἡ πρόγνωσις οὐκ ἐθέλει δράττεσθαι, ἵνα μὴ εἱρμῷ τινι ἀναγκαίῳ καθυποβάλλῃ. Τὰ μὲν οὖν τῶν ὄντων τὰ φύσει ἀμοιροῦντα λόγου τε καὶ αὐτεξουσιότητος, ἢ γοῦν ἀμυδρῶς, ἀλόγως τε καὶ ἀσκέπτως νοοῦντα, αὐτὰ τὰς ἑαυτῶν ἐνεργείας μὴ δυνάμενα διεξάγειν, εὐθὺς ἐξ ἀρχῆς ἔν τινι τάξει καὶ ἀλληλουχίᾳ συνηρμολόγηται, ἔνθα οὐδὲν

σεως συνάπτοιντο οὕτω μακρᾶς καὶ διηκούσης εἰς τὸ ἀχανὲς ἄπειρον, ὥστ' ἀδύνατον ἡμῖν τὰ μεταξὺ διιδεῖν.

Ὁ μὲν οὖν Συγγραφεὺς τὸ ἐκτιθέμενον τοῦτο τρίτον σύστημα ἀποτομώτερον ἀποδοκιμάζει, ὡς δῆθεν ἀναιροῦν τὴν ἐλευθερίαν· τὸ γὰρ τὸν θεῖον νοῦν εἰδέναι βεβαίως πάντα τὰ ὑπὸ τοῦ ἀνθρώπου πραχθησόμενα, προορίζειν αὐτὰ καθ' ἕνα τινὰ τρόπον γενέσθαι, καὶ μηκέτι ἐκ τῶν ἐπίσης ἐνδεχομένων εἶναι ἐᾶν. Ἀλλ' ἐπειδὴ τὴν δόξαν ταύτην πάντες σχεδὸν οἱ καθ' ἡμᾶς θεολογοῦντες πρεσβεύουσι, περιτεμεῖν αὐτὸς ἔγνων καὶ συγκεράσασθαι ἐπὶ τὸ μετριώτερον, καὶ αὐτὸ τοῦτο διασκευάσασθαι. Ἄλλως δὲ καὶ ἡ ὑπόθεσίς ἐστι μᾶλλον θεολογικὴ ἢ ψυχολογική, καὶ διὰ πολλῶν ἐνταῦθα ἐπιχειρεῖν ἐξαπλοῦσθαι ἄκαιρον ᾠήθην εἶναι. Ἴσως δ' ἐν τῇ καθ' ἡμᾶς Προεισαγωγῇ ἐξετάσομεν τὸ προκείμενον πλατύτερον· νῦν δὲ τοῖς ἄρτι καθισταμένοις τὴν Φιλοσοφίαν, ἱστορικώτερον ἀντιπαραθεῖναι καὶ τὴν αἵρεσιν ταύτην ἡμῖν ἀπέχρησεν, ἵν' ἅμα καὶ τὸ πρωτότυπον ἀποδῶμεν, καὶ πᾶσαν ἐπήρειαν παρεκκλίνωμεν.

Ἔοικε δ' ὁ ἀνὰ χεῖρας φιλόσοφος ῥέπειν ἐπὶ τὴν τετάρτην δόξαν, ὅτι δηλ. αὐτὸς ὁ Θεὸς ἐάσειέ τινα ἀπρόορατα καὶ ἀδιόριστα, ἵν' εἶεν ἀληθῶς ἐλεύθερα, ἐξ αὐτοῦ τοῦ ἀνθρώπου αὐτοβούλως τὴν ὑπόστασιν λαμβάνοντα· ἀλλὰ πρῶτον μὲν λέγομεν, ὅτι οὐ διὰ τοῦτο ὁ ἄνθρωπος πράξει τό δε τι, διότι ὁ Θεὸς προγινώσκει αὐτό· ἀλλὰ πᾶν τοὐναντίον, διότι ὁ ἄνθρωπος αὐτεξουσίως καὶ ὑπὸ μηδενὸς βιαζόμενος κλέψει, φέρ' εἰπεῖν, διὰ τοῦτο ὁ Θεὸς ἀληθῶς καὶ βεβαίως γινώσκει τὴν μέλλουσαν κλοπήν· ἡ δὲ κλοπὴ αὕτη οὐκ ἔσται ἔργον ἀναγκαίως συνεπόμενον τοῖς προϋπάρχουσι τῷ ἀνθρώπῳ, ἀλλ' ἐξ αὐτῆς ἀνατελεῖ τῆς ἰδίας αὐτοῦ ἀποφάσεως· φανερὸν γὰρ ὅτι ὁ Θεὸς προορᾷ πάσας τὰς πράξεις ἔν τινι διδομένῳ καιρῷ· διατί οὖν λύσει αὐτὸν (οὗ ἐν τῇ χειρὶ πάντες οἱ αἰῶνες·) τὸ ὄντως καὶ ὡρισμένως πραχθησόμενον ἐξ οἰκείας αἱρέσεως; ὅταν δὲ λέγωμεν ὅτι τὰ ἔργα τοῦ ἀνθρώπου πρα-

ἐξ ἑαυτῶν πράττοντα, οὐδεμίαν εὐθύνην ὑπέχει· οὐ γὰρ πέφυκε καὶ αὐτὰ ἑαυτῶν προνοεῖν. Θεὸς γὰρ ἐφήπλωσεν αὐτοῖς τὴν ἑαυτοῦ πρόνοιαν, ὑπογράψας νόμους ἀμεταβλήτους ἐν οἷς μέλλει κατ' ἀνάγκην διαπεραίνειν. Τὸ προειδέναι οὖν πάντα τὰ αὐτοῖς συμβησόμενα ἀκριβῶς, οὐδεμίαν ἀπορίαν ἔχει· οὕτω γὰρ ἡ πρόγνωσις αὐτή ἐστιν ἡ γνῶσις τῶν ἐν τῷ θείῳ νοΐ εἰς τὸ μέλλον προωρισμένων, οἷς ἡ παντοδυναμία αὐτοῦ ἐπιβάλλει ἀμετάκλητόν τινα ἐκπλήρωσιν καὶ ἀπαραίτητον ἔκβασιν· τὸ πᾶν γὰρ ἐνταῦθα οἷον τετελεσμένον ἐστὶ, καὶ τὸ προορᾷν οὐδὲν τοῦ ὁρᾷν διαφέρει· δύναται γὰρ πάνθ' ὅσα βούλεται, καὶ βούλεται πάνθ' ὅσα νοεῖ· ὅτι πάνθ' ὅσα νοεῖ, καλὰ λίαν ἐστίν.

§. 380. Ἀλλ' οὐχ οὕτως αἱ λογικαὶ ψυχαὶ ἐδημιουργήθησαν ὑπὸ τοῦ Θεοῦ· ποιήσας γὰρ ταύτας καθ' ὁμοίωσιν ἑαυτοῦ, νοῦ καὶ ἐλευθερίας μεταδοὺς, ὅσον ἐνδέχεται, καὶ τάξας ἐπὶ τῆς γῆς

γινωσκόμενα ὑπὸ τοῦ Θεοῦ ἀναγκαίως πραχθήσεται, ἐνοητέον καλῶς τὴν ἀνάγκην ὅπως λέγεται· ἡ μὲν γὰρ ἀκολουθία καὶ συνέπεια ἐν τῷ προκειμένῳ ἐνθυμήματί ἐστιν ἀναγκαία· (ἀλάθητος γὰρ ὁ νοῦς τοῦ Θεοῦ·) τὸ δὲ συμπέρασμα, ἢ ἡ πρότασις ἡ συμπεραινομένη οὐδὲν ἀναγκαῖον ἐν ἑαυτῇ περιέχει, ὡς δηλαδὴ, κἂν μὴ θέλῃ ὁ ἄνθρωπος, πράξει τὸ προορώμενον· ὁ γὰρ Θεὸς τὸ ἐλευθέρως καὶ ἀβιάστως πραχθησόμενον προγινώσκει· ὥστε πρὸς τῷ ἐλεύθερον εἶναι καὶ προορατόν ἐστι. Καί τοι ὁ Θεὸς καὶ εἰδὼς βεβαίως, τί πράξει ὁ ἄνθρωπος, οὐ παύεται κατὰ νόμους τινὰς δικαίους τῆς θείας αὐτοῦ Προνοίας διανέμειν τὴν χάριν, καὶ ἐξοικονομεῖν τὰς πρὸς ὠφέλειαν περιστάσεις.

Δεύτερον δὲ ἡ ἑτέρα γνώμη, ἡ ἀντικαθισταμένη ὡς κρείττων, δυσπαράδεκτος δοκεῖ, ὅτι λίαν περιορίζει τὴν θείαν σοφίαν· οὕτω γὰρ ὁ Θεὸς ὁ κυβερνήτης πάσης τῆς κτίσεως καὶ ὁ θέμενος ὅρους τῆς ζωῆς ἑκάστου, εὑρεθήσεται ἀγνοῶν, ὅσας μεταβολὰς ἐπὶ τῆς γῆς ὁ ἄνθρωπος ἐπάξει, καὶ μέχρι τίνος ἡ ζωὴ ἑκάστου παραταθήσεται· ἀγνοήσει δὲ καί τινας ἀλλοιώσεις ἀτμοσφαιρικάς, ἐξ αὐτῆς τῆς τοῦ ἀνθρώπου χειρὸς προερχομένας, ὑλοτομούσης, διορυττούσης, φυτευούσης κτλ.

Ἀλλὰ τρίτον ἀπαντῶμεν τέλος, ὅτι Θεὸς κρείττων χρόνου ἐστὶ, καὶ πάνθ' ὁρᾷ ἤδη γιγνόμενα· ἄρα οὐ προδιορίζει μέλλον, ἀλλὰ τὰς ἐνθυμήσεις καὶ πράξεις ἡμῶν ἅμα συνισταμένας γινώσκει· παρ' ἡμῖν δὲ τοῦτο δοκεῖ δυσνόητον, ἀχρόνως νοεῖν τι μὴ δυναμένοις. Θεὸς δὲ χρόνῳ ὑποβληθεὶς πῶς ἕξει τὸ ἀπειροτέλειον;

Ταῦτα μὲν οὖν ἐν ἐπιτόμῳ ἀπαντῶμεν, προστιθέντες τοσοῦτον, ὅτι καὶ αὐτὸς ὁ Δαμιρὼν, ἀποτόμως ἀποβαλὼν τὴν κοινοτέραν δόξαν, ἔοικε συνιδόντι τὸ ἀνίκανον τῆς ἑαυτοῦ προτάσεως· διὸ καὶ ὑποσημειοῖ ὅτι μετ' εὐλαβείας μεγίστης ἐτόλμησε τοῦτο, καὶ προθύμως ἂν ἀσπάσαιτο πᾶσαν ἑτέραν δόξαν, ἥτις ἂν ἄμεινον συμβιβάσειε τὰς δύο ταύτας μεγάλας ἀληθείας τῆς ὑγιοῦς Φιλοσοφίας.

SISMANOGLIO MEGARO



ὡς δυνάμεις τινὰς ἰσοθέους μὲν οὐ, θεοεικέλους δὲ καὶ οἷον μικροπρονοίας τινὰς, ἵν' οὕτως εἴπω, ἐν ὁρίοις δηλαδὴ πεπερασμένοις διενεργούσας, ὥσπερ ἐκεῖνός ἐστιν ἡ ἄπειρος καὶ ἀπεριόριστος πρόνοια, οὐκ ἐλάχιστον αὐταῖς μέρος ἀνέθηκε τῆς τοῦ βίου διεξαγωγῆς, αὐτεξουσίους καὶ ὑπευθύνους ὧν μέλλουσι πράξειν καταστήσας. Ταῦτα οὖν οὐ προώρισεν, ὅτι μετέδωκεν αὐταῖς τῆς προνοητικῆς χάριτος καὶ τῆς ἐλευθέρας ἐνεργείας, ἀνθ' ἑαυτοῦ τάξας ἐφ' ἃ νοεῖν καὶ πράττειν ἀφ' ἑαυτῶν ἱκανὰς ἀνέδειξεν· αὐτῶν ἄρα ἔργον ἐστὶν αὐτουργεῖν, ὅσα περ Θεὸς περαίνει ὑπὲρ τῶν ἀλόγων καὶ ἀνοήτων.

§. 381. Ἔσται οὖν καί τινα ἔργα εὐάριθμα πάντως, ἃ οὐκ ἠξίωσεν ὁ Θεὸς τάξαι ἐν ταῖς ἀποῤῥήτοις αὐτοῦ βουλαῖς, ἀλλ' ἐνεπίστευσεν ὅλως ταῖς τοῦ ἀνθρώπου φροντίσι καὶ διανοίαις· ταῦτα δὲ πάντα μέλλον τι δίδωσιν ἀβέβαιον καὶ ἀόριστον καὶ ἄδηλον, ἐκ τῆς αὐτενεργείας ὄντων αὐτεξουσίων ὑποστησόμενον, καὶ διὰ τοῦτο μέχρις ἂν ἀληθῶς ὑποστῇ ἀγνοούμενον· πολλὰ γὰρ καταλείπεται τῇ τῶν ἀνθρώπων προαιρέσει, μυρίαν διάφορον ἔκβασιν ἐπιδεχόμενα. Τίς οὖν τούτων ἡ ἀληθὴς ἔκβασις, ἀδύνατον προϊδεῖν· ὅτι ἡ ποιητικὴ τούτων αἰτία ἡ διορίσουσα ταύτην οὔπω ἐνήργηκεν· ἐπὰν δὲ νοήσῃ καὶ βουληθῇ, τηνικαῦτα ἔσται τι ὑποκείμενον τῇ γνώσει, καὶ ὁ θεῖος νοῦς, ὃ παντεπόπτης παντὸς νοητοῦ ὄντος καὶ πάσης ἀληθείας, κατόψεται τοῦτο καὶ γνώσεται (α)· μέχρι δὲ τούτου, ἐπειδὴ ἐλευθερίᾳ τὸν ἄνθρωπον τετίμηκεν, ὅ ἐστιν οὐ προώρικε πάσας αὐτοῦ τὰς πράξεις, οὐκ ἂν εἰκότως προΐδοι τὸ ἀπροόρατον· ἀντιπεριπίπτει γὰρ τὸ κατανοεῖν ὡς προδιατεταγμένον καὶ ἀλλη-

(α) Ὅ ἐστιν, ἐπειδὴ ὁ νοῦς νοεῖ τὰ ὄντα καὶ ὑπάρχοντα, ταῦτα δὲ περὶ ὧν ὁ λόγος, οὔπω γίγονεν ὑπὸ τοῦ ἀνθρώπου, ἀδύνατον εἶναι νοητὰ ὡς ἀνύπαρκτα. Ταῦτα μὲν λέγει ὁ Συγγραφεύς· ἴσως δ' ἄν τις ἀντείποι τόδε, ὅτι ὁ Θεὸς νοεῖ οὐ μόνον τὰ ἐνεργείᾳ ὄντα, ἀλλὰ καὶ τὰ δυνάμει· ὥσπερ δ' ἐπὶ τῶν φυσικῶν τὸ μέλλον τὸ ἀναποδράστως γενησόμενον, δυνάμει ἐστὶν ἀπὸ τοῦδε, οὕτω καὶ ἐπὶ τοῦ ἀνθρώπου, ὃ μέλλει πράξειν ἐλευθέρως, ἐμπεριέχεται τῇ οὐσίᾳ καὶ ὑποστάσει αὐτοῦ· νοῦς δὲ παντέλειος ἐπεισδύει εἰς ὅλον τὸν γύρον τῆς μελλούσης προόδου καὶ ἀναπτύξεως τῶν ἐνεργημάτων αὐτοῦ, οὐ μόνον τῶν ἀναγκαίων, ἀλλὰ καὶ τῶν ἐλευθέρων· ὅτι ἀμφότερα δυνάμει ἐνυπολανθάνει, τουτ. ἐνυπάρχει, ἔνεστιν· ἄρα προορῶν ὁ Θεὸς τὰς μελλούσας ἐλευθέρας πράξεις τοῦ ἀνθρώπου οὐ τὸ ἀνύπαρκτον οὐδὲν νοεῖ, ἀλλὰ τὸ δυνάμει ὑπαρκτὸν, τουτ. τὸ ἐσόμενον ἐλευθέρως.

λουχούμενον τὸ αὐτοπροαίρετον, τουτ. τὸ ἐλεύθερον, τὸ ἐνδεχόμενον καὶ προορισμοῦ ἀνεπίδεκτον. Καὶ συντόμως εἰπεῖν, εἰ ὁ ἄνθρωπος ἐπλάσθη οἷος ἐπαρκεῖν ἑαυτῷ καὶ αὐτὸς τὸν ἑαυτοῦ βίον διεξάγειν, ἔστι τι πάντως ἀδιόριστον καὶ μὴ ὑποκείμενον τῷ προορισμῷ. (α)

§. 382. Ἀλλ' ὁ ἄνθρωπος οὐ κατὰ πάντα ἑαυτοῦ προνοεῖ· ἔστι γὰρ ἐλεύθερος ἅμα καὶ δοῦλος, αὐτεξούσιος ἅμα καὶ ὑπεξούσιος· πολλαχοῦ γὰρ ἐπανακρέμαται τῇ ἀνάγκῃ τοῦ πεπρωμένου, μᾶλλον δὲ τῷ παντοκράτορι Θεῷ, τῷ κατέχοντι ἢ ἐπανάγοντι αὐτὸν ὑπὸ τὸν νόμον τῆς αὐτοῦ παντοδυναμίας, καὶ καθυποβάλλοντι ἀεὶ τῇ τάξει τῆς τοῦ σύμπαντος διεξαγωγῆς καὶ κυβερνήσεως· οὐ γὰρ ἔστι κύριος μεταβαλεῖν πάσας τὰς περιστάσεις τοῦ κατ' αὐτὸν βίου, ὅσαι εἰσὶν ἀναγκαῖαι καὶ ἀπαραίτητοι. Οὕτω δὴ καὶ ἐπὶ τοῦ προκειμένου πολλὰ μὲν ἐξ αὐτοῦ πρόεισι καὶ ἐκπηγάζει ἐλευθέρως· πλεῖστα δ' ὅσα τοὐναντίον αὐτῷ προώρισται καὶ προϋποτετύπωται· οὐ μόνον γὰρ ὅταν ἐκπίπτῃ ἐκ τοῦ ἀνθρωπίνου ἀξιώματος, ὅμοιον μονονοὺκ ἀποβαίνων κτήνει ἢ καὶ φυτῷ, ἰδιαίτερον ἀπολαύει τῆς θεόθεν κηδεμονίας καὶ παραστάσεως· ἀλλὰ καὶ ἐν τῇ καθεστώσῃ τῶν πραγμάτων τάξει οὐκ εὐάριθμοι περιστάσεις ἰσχυραί τε καὶ ἀκαταμάχητοι, ὑπάγουσι τοῦτον προωρισμένῳ τινὶ θελήματι ἄνωθεν. Ἡ γὰρ ὑπερτάτη σοφία ἔθηκε μὲν τὸν ἄνθρωπον ἐπὶ τῆς γῆς ἐλεύθερον, οὐ κατὰ τύχην ὅμως οὐδ' ἀγνοοῦσα τοῦτο ἐποίησεν· οὐ γὰρ ἀνέχεται τοῦτον ὁρῶσα εἰς τὴν ἐσχάτην ἀταξίαν ἐκτραχηλιζόμενον, ἀλλὰ τοῖς τεταγμένοις θεσμοῖς τῆς καθόλου ἁρμονίας συμφωνοῦντα τηρεῖ. Πρῶτον μὲν γὰρ τὸ ἄνθρωπος εἶναι μεταβαλεῖν οὐ δύναται, ἀλλὰ διατελεῖ ἔχων τὸ τῇ φύσει αὐτοῦ ὡρισμένον τέλος· μεταποιεῖ μὲν γὰρ σφόδρα τὰς ἐνούσας δυνάμεις

(α) Τὸ μὲν ἀδιόριστον καὶ ἀπροόριστον δίδοται ῥᾷστα παρὰ τοῖς δεχομένοις τὴν τοῦ ἀνθρώπου ἐλευθερίαν· τὸ δ' ὑπὸ τοῦ Θεοῦ ἀπρόορατον παντελῶς ἀποδοκιμάζεται· οὐ γὰρ ἀντίφασις ἐν τῷ *προορᾶν τὸ ἐλεύθερον*· προορῶν γὰρ ἐᾷ τοῦτο οἷόν ἐστι, δηλαδὴ ἀνέπαφον καὶ ἐλεύθερον· ὥστε ὡς πρὸς τὴν προαίρεσιν τοῦ ἀνθρώπου, τὸ ἐλευθέρως ἐπόμενον ὑπ' αὐτοῦ ἐστιν ἀδιόριστον καὶ ἐνδεχόμενον· ὅτι δύναται πρᾶξαι τοῦτο καὶ μή· ἀλλ' ὡς πρὸς τὴν παγγνωσίαν τοῦ Θεοῦ καὶ μάλα ἐστὶν ὡρισμένον καὶ βέβαιον.

SISMANOGLIO MEGARO



καὶ τὰ τούτων ἀποτελέσματα, ἀλλ' ἐξαλλοιῶσαι ταύτας πάμπαν ἀμηχανεῖ· οὔτε γὰρ κτῆνος οὔτ' ἄγγελος γενέσθαι πέφυκεν, ὅσον ἂν διαστραφῇ ἢ τελειοποιηθῇ· τό τε γὰρ ἀγαθὸν καὶ τὸ κακὸν ἐν αὐτῷ ἔσται ὅσον ἡ ἀνθρωπίνη φύσις ἐπιδέχεται. Καὶ ταῦτα μὲν περὶ παντὸς ἀνθρώπου καθόλου.

§. 383. Ἀλλὰ καὶ καθ' ἕκαστον θεωρούμενος, ἰδίας τινὸς ἀτομικῆς φύσεως ἢ συστάσεως εἴληχεν, εἴτ' ἐν τῷ νοεῖν καὶ τῷ παθαίνεσθαι, εἴτ' ἐν τῇ κράσει καὶ τῷ ὀργανισμῷ, ἃ μέχρι τινὸς ὁρίου μετατρέπειν αὐτῷ ἔνεστι. Μαρτυρεῖ δέ μοι τῷ λόγῳ ἡ προφανὴς διαφορὰ ἡ χαρακτηρίζουσα τὰς φυλὰς καὶ τὰς γενεὰς καὶ ἕκαστον τῶν οἰκογενῶν, ἃ οὐδ' ἡ πολιτικὴ πρόοδος οὐδ' ἡ κατ' οἶκον ἀγωγὴ παντελῶς ἀπαλεῖψαι ἰσχύουσι. Τρίτον δ' ἔν τισιν ἐποχαῖς τοῦ βίου ἑκάστου ἀτόμου, ὥσπερ καθορᾶται καὶ ἐν τῇ τῶν ἐθνῶν ἱστορίᾳ, κρείττονές τινες καὶ ἀνεπίσχετοι ὁρμαὶ ἐπιγίνονται, ἃς ὁ Θεὸς στρέφει καὶ ἐξοικονομεῖ κατὰ τὰς αἰωνίους αὐτοῦ βουλάς· οἷον γάρ τις ἀναβολὴ καὶ ἀπραξία τηνικάδε τῆς ἐλευθερίας ἐστίν, ἀνθ' ἧς πρὸς καιρὸν ἀνάγκη τις προνοητικὴ ἀνάσσει καὶ διεξάγει· εἰ γὰρ καὶ οὐχ οὕτω συχναί εἰσιν αἱ τοιαῦται περιστάσεις, ἀναφαίνονται ὅμως ἐνίοτε, καὶ τότε τὰ γινόμενα κατ' ἀναγκαίαν τινὰ ἀλληλουχίαν περαίνεται, ἕως οὗ πάλιν ἡ ἐλευθερία ἀναλάβῃ τὸ ἐπιβάλλον αὐτῇ δικαίωμα καὶ κράτος. Ἐνταῦθα μὲν οὖν ὁ βίος τοῦ ἀνθρώπου οὐ μόνον οὐκ ἔστιν ἀσύμβατος τῇ τοῦ Θεοῦ προγνώσει, ἀλλὰ τοὐναντίον κατὰ φύσιν καὶ κατ' ἀνάγκην αὐτῇ καθυπάγεται· ὅσα δ' ἡ ἐλευθερία ἐνεργεῖ, ταῦτ' ἐνδεχόμενα καὶ ἀδιόριστα ἐατέα. Τοιαύτη μὲν οὖν καὶ ἡ δόξα αὕτη, περιορίζουσα κατά τι τὴν θείαν πρόγνωσιν· ἀλλ' ἐπειδὴ καινοτέρα πως αὕτη δοκεῖ, ἐφείσθω ἡμῖν ἐκτιθέναι ἐν ἐπιτόμῳ καὶ τοὺς λόγους, δι' ὧν ἐπιχειροῦσι σαφέστερόν τε καταστῆσαι καὶ δικαιῶσαι τὸ προτεινόμενον.

§. 384. Τί οὖν παρὰ τοῖς οὕτω δοξάζουσιν ὁ ἄνθρωπός ἐστι πρὸς τὸν αὐτοῦ Ποιητήν; Δύναμις ἔχουσα, ὥσπερ καὶ αἱ ἄλλαι πᾶσαι ἐν τῷ σύμπαντι, τεταγμένον τινὰ τρόπον ὑπάρξεως καὶ ἐνεργείας, ταὐτὸν εἰπεῖν τέλος ὡρισμένον, πρὸς ὃ κατεπείγεται. βουλὴ δέ τις ἄνωθεν διεξάγει τήν τε γένεσιν καὶ σύμπαντα τὸν

βίον αὐτῆς μέχρι καὶ τοῦ τάφου, ἀλλὰ καὶ ἐπέκεινα αὐτοῦ παρακολουθοῦσα ἀδιαλείπτως· οὗτος οὖν ἀΐδιος αὐτῷ καὶ ἀθάνατος νόμος ἐπίκειται. Ἀλλ' ἡ Πρόνοια ἡ κατ' ἀρχὰς πάντα τὰ ἔργα τῷ ἀνθρώπῳ διορίζουσα, νοεῖν τε καὶ παθαίνεσθαι καὶ τῷ σώματι χρῆσθαι καὶ πρὸς τὴν ἔξω φύσιν προεκτείνεσθαι ποιοῦσα, καὶ οἷον καταναγκάζει αὐτῷ τὰς πρώτας προόδους καὶ ἀναπτύξεις, ἅπαξ ἀφιγμένον ἤδη εἰς τὴν τῆς ἐλευθερίας ἡλικίαν, οὐκέτι ὑπ' ἐξουσίαν ἀνένδοτον καὶ προστασίαν ἀπαραίτητον καθ' ἕκαστον βῆμα κατέχει· εἰ γὰρ καὶ οὐδέποτ' αὐτὸν παντάπασιν ἀπαλλάττει, οὐδὲ πάντας ἀθρόους ῥήγνυσιν αὐτῷ τοὺς δεσμούς, χειράφετον ὅμως ἀνετωτέρως καθίστησι, καὶ διά τινος ἑτέρας κυριότητος προτρέπεται μέν, ἀλλ' οὐ βιάζεται· καθυποχρεοῖ μέν, ἀλλ' οὐ καταναγκάζει· ἐπιτάσσει μέν, ἀλλ' οὐκ ἄκοντα ὠθεῖ εἰς τὴν πρᾶξιν· προτείνει μὲν γὰρ ἃ δεῖ *ποιεῖν*, ἀλλὰ τοῦ λοιποῦ οὐ *ποιεῖ ποιεῖν* ταῦτα, οὔτε διὰ παρορμήσεως ἀναγκαίας καὶ ἀκαταμαχήτου ἐνεργεῖ, ἀλλὰ μᾶλλον διὰ πείρας καὶ δοκιμῆς, διὰ ποινῶν ἢ βραβείων. Πανταχοῦ γὰρ παροῦσα, καὶ πάντα στρέφουσα πρὸς τὸ ἴδιον θέλημα, πρῶτον μὲν τὰς ἀφορμὰς πεφεισμένως παρέχει, καὶ καθιστῶσα τὰς ψυχὰς κατέναντι ἔργων ἀγαθῶν καὶ κακῶν, ἀπεκδέχεται παρ' αὐτῶν ἐλευθέραν τὴν αἵρεσιν. Ἔπειτα δέ, ὅταν ἐκ τῆς βουλήσεως πρᾶξις ἠθικὴ περαιωθῇ, δοκιμάζει μὲν τὸ ἄξιον, ἀποδοκιμάζει δὲ τὸ ἀπάξιον κατὰ τὴν εὐθυτάτην αὐτῆς δικαιοσύνην, καὶ οὕτως ἀποδίδωσιν εὐθὺς ἢ ἐν καιροῖς τοῖς προσήκουσι τὴν βράβευσιν ἢ τὴν κόλασιν· διὰ πάντων δὲ τούτων ἄγει ἢ ἐπανάγει πρὸς τὸ ἀγαθὸν οὐχὶ διὰ βίας, ἀλλὰ διὰ προτροπῆς καὶ ψιλῆς παρορμήσεως.

§. 385. Τὸ μὲν οὖν ὡρισμένον ἡμῖν ὡς ἀναγκαῖον καὶ ἀναπόφευκτον ἐκ τῆς θείας βουλῆς, ἀναφέρεται πρὸς τὴν ἀρχὴν τῆς ἡμετέρας φύσεως, καὶ τὰς πρώτας αὐτῆς προόδους, καὶ τὴν ἀπελευθέρωσιν μετά τινων ἀχωρίστων περιστάσεων, οἷον τῆς πολυειδοῦς καὶ ποικίλης δοκιμασίας, τῆς πολυτρόπου ποινῆς καὶ ἀνταμείψεως. Ἡ γὰρ γέννησις καὶ ἡ ζωὴ ἐπὶ τῆς γῆς, ἥτε ἀναγκαστὴ καὶ ἡ ἐλευθέρα, ἥτε πεῖρα καὶ δοκιμασία καὶ ἡ ἀνταπόδοσις ἐπὶ τοῖς

SISMANOGLIO



πεπραγμένοις πρὸς παιδαγωγίαν καὶ βελτίωσιν ἡμῶν ἠθικήν, πάντα ταῦτ' ἀληθῶς πέπρωται ἡμῖν ἄνωθεν καὶ ἀναγκαῖά ἐστιν· ὥστ' ἀδύνατον τὸν δεχόμενον ἐν τῇ κτίσει βουλήν τινα καὶ πρόνοιαν σοφῶς διέπουσαν πάντα ἀρνήσασθαι, ὅτι ἕκαστον ἡμῶν ἰδίᾳ αὐτὸς ὁ Θεὸς ὑφίστησιν, ἐπιβάλλων ἰδιότητας καὶ τέλος τῷ ἀνθρώπῳ προσήκοντα, καὶ προορίζειν ἢ πρoκαλεῖν διά τινος ἀποκρύφου ῥοπῆς εἰς εἰδικωτέραν τινὰ λειτουργίαν, καὶ διατιθέναι ἐν τῷ βίῳ τὰς περιστάσεις οὕτως, ὥστ' ἔχειν ἕκαστον κατορθοῦν τὴν ἑαυτοῦ τελειοποίησιν αὐτεξουσίως καὶ αὐτοπροαιρέτως. Ὡς δὲ πρὸς τὸν τρόπον τοῦ καθιστᾶν εἰς ἐνέργειαν τὰς ἐν ἡμῖν δυνάμεις, ὅταν ἐκλάμψῃ τὸ φῶς τῆς ἐλευθερίας, καὶ τοῦ δέχεσθαι τὴν δοκιμασίαν ἐπωφελῶς ἢ ἀτελεσφορήτως, ὡς ἂν ἡμῖν ἀρέσκῃ· ἔτι δὲ καὶ ὡς πρὸς τὴν ἠθικὴν διάθεσιν, ἐν ᾗ εὑρίσκουσιν ἡμᾶς αἱ ποιναὶ καὶ τὰ ἆθλα, (α) οὐδὲν τούτων προδιατίθησι καὶ διατάσσει ὁ Θεός, εἰ μήπου διὰ μακροῦ χρόνου πολλοῖς μὲν δοκιμίοις καὶ ἐξιλασμοῖς καθυποβληθέντες, πολλαῖς δὲ χάρισι καὶ ἐμπνεύσεσι τελεσθέντες, καταντήσαιμεν εἰς τὴν προσήκουσαν ἁγνότητα καὶ βελτίωσιν, τὰς βουλὰς τοῦ Θεοῦ ἐξανύοντες.

§. 386. Οὕτως οὖν, ἵνα τὸ προωρισμένον τῷ βίῳ ἡμῶν δηλώσωμεν, ὁ καιρὸς καὶ ὁ τόπος τῆς γεννήσεως, ἡ συγγένεια καὶ τὰ περὶ αὐτήν, καὶ πᾶν τὸ ἐκ φύσεως καὶ τύχης συμβαῖνον ἡμῖν, καὶ πᾶσαι αἱ περιστάσεις, εἰς ἃς οἷον ἄνωθεν ἀγόμεθα, ταῦτα πάντα προέρχεται ἐκ τῆς τῶν πραγμάτων τάξεως τῆς θεόθεν καθιδρυμένης. Ἵνα δ' ὡσαύτως καὶ τὸ ἀνῆκον τῇ ἡμῶν αὐτεξουσιότητι ἀποδῶμεν, ἐξ αὐτῶν ἤδη τῶν σπαργάνων, ὑπὸ τὸν φαεινὸν τοῦτον ἀστέρα τὸν ἀρχόμενον ἐπιτέλλειν καὶ περιαυγάζειν ἡμᾶς διὰ τῆς ἰσχυρᾶς αὐτοῦ ἐπενεργείας, ἐν ταῖς πρώταις παιδιαῖς τῆς ἀρτιθαλοῦς καὶ ῥαδινῆς ἡμῶν ἡλικίας, ἡνίκα ἀσθενεῖς λίαν καὶ ἀνίσχυροι πεφύκαμεν, οὐ κατὰ μικρὸν μεταβάλλομεν τὸν ἐπικείμενον ἡμῖν ὁρισμόν· ὅταν δ' ὕστερόν ποτε μᾶλλον ἐξησκημένοι καὶ πλείονα

(α) Ὅμοιόν τι λέγει καὶ ὁ θεῖος Δαμασκ. Βιβλ. Β. μς΄. «Πᾶσαι αἱ σκυθρωπαὶ ἐπιφοραὶ (τουτ. ἐπιδρομαὶ καὶ συμφοραὶ αἰφνίδιοι) τοῖς μετ' εὐχαριστίας δεχομένοις πρὸς σωτηρίαν ἐπάγονται, καὶ πάντως ὠφελείας γίνονται πρόξενοι.»

ἐμπειρίαν ἔχοντες καὶ ἰσχυρότεροι καθεστηκότες, μετ' ἐπιμονῆς ἀκραδάντου βουλώμεθα, ὅσον οὐ κατεξουσιάζομεν τῶν πέριξ ἡμῶν ἀμφικυμαινομένων τούτων καὶ εὐπεριτρέπτων δυνάμεων; οἵοις τρόποις οὐκ ἀναφέρομεν εἰς τὰς ἡμετέρας βουλὰς, διατηροῦντες αὐτὰς ἢ ποικίλλοντες, ἐπικάμπτοντες ἢ καταπολεμοῦντες; καὶ τέλος ὑποδουλούμενοι τῇ ἐλευθέρᾳ ἡμῶν ἐνεργείᾳ; Ἔστι δήποτε χρόνος ἢ τόπος ἀνθιστάμενοι τῇ φρονήσει, τῇ δραστηριότητι, τῇ σκέψει, τῇ γενναιότητι, τῇ ἐμπειρίᾳ καὶ τῇ καρτερίᾳ ἡμῶν; Ἢ οὐκ ἔστιν ἐφ' ἡμῖν ἀναβαλεῖν ἢ ἐπιταχύναι, παραγαγεῖν ἐνταῦθα μᾶλλον ἢ ἐκεῖ ἔργα δήποτέ τινα, καὶ διαθέσθαι κατὰ τὸ μέτρον τῆς ἐν ἡμῖν δυνάμεως τὴν διάρκειαν, τὸν τόπον καὶ τὰ ἐκτελεστικὰ ὄργανα; Πῶς οὖν ἔστι προϊδεῖν ῥητῶς τὸν χρόνον καὶ τὸν τόπον, καὶ ὡρισμένως τὴν φύσιν τῶν προϊόντων τῆς ἡμετέρας ἐλευθερίας; (α)

§. 387. Ταῦτα δὲ τοῖς καθ' ἕκαστον περὶ τούτου συμβαίνει καὶ ταῖς κοινωνίαις· καὶ γὰρ αὗται ὁρισμόν τινα καὶ σκοπὸν ἴδιον ἔχουσιν, ὃν ἅμα φανεῖσαι ἐν τῇ ἱστορίᾳ δέχονται παρὰ τοῦ Ὑψίστου ἔκ τε τῆς ἐμψυχούσης αὐτὰς ὁρμῆς, ἔκ τε τῆς χαρακτηριζούσης ἱκανότητος καὶ δεξιότητος, ἔκ τε τῶν περιστάσεων τῶν φυσικῶν καὶ διανοητικῶν καὶ θρησκευτικῶν. Γνωρίζεται δ'

(α) Ταῦτα πάντα δείκνυσι τὸ ἀόριστον καὶ ἐλεύθερον τῶν ἀνθρωπίνων πράξεων· οὐ μέντοιγε ἐκφεύγει τὸν ἀπειρόσοφον νοῦν τοῦ Προνοητοῦ· ἄλλως γὰρ ἐν ἀγνοίᾳ καὶ Θεὸς συμπαρακολουθήσει τοῖς ἀεὶ γιγνομένοις ὑπὸ τοῦ ἀνθρώπου, καὶ μετ' αὐτοῦ γνώσεται τὰ καθ' ἑκάστην ἡμέραν, ὁ πρὸ κοιλίας μητρὸς ἡμῶν ἐτάζων καρδίας καὶ νεφρούς. Πάντα οὖν τὰ λεγόμενα ἐνταῦθα σοφὰ μέν ἐστιν, ὡς διορίζοντα σαφῶς τίνα μὲν τὰ ἐφ' ἡμῖν, τίνα δὲ τὰ τῆς θείας Προνοίας· οὐ δικαιοῖ ὅμως ἀποχρώντως, ὅτι τὰ ἐφ' ἡμῖν λανθάνει τὸν ἄχρονον τοῦ Θεοῦ νοῦν· οὐ γὰρ τὸ προεγνωσμένον ἐστὶν ἐλεύθερον· ἀλλὰ τὸ ἐλεύθερον, (τουτ. τὸ ἐλευθέρως γενησόμενον, ὡς ἂν δόξῃ τῷ πράξοντι·) τοῦτ' ἐποπτεύεται ὑπὸ τοῦ Θεοῦ,.. τοῦ ἀναλλοίωτον γνῶσιν ἔχοντος, καὶ μηδαμῶς νῦν μὲν ὡς ἀβέβαιόν τι ὑπονοοῦντος, εἶτα δὲ πραχθὲν ὡς βέβαιον εἰσομένου.

Καί μοι συγγνώμη παρὰ τοῦ σεβαστοῦ μοι Καθηγητοῦ, ὅτι οὐκ οἶδ' ὅπως ἄτολμος ἐγὼ ἐπινεῦσαι τοῖς παρ' αὐτοῦ δογματιζομένοις εὑρίσκομαι· αὐτὸς γάρ μοι πολλάκις διὰ πολλῶν τὴν ἀπόλυτον τελειότητα τοῦ Θεοῦ ἐξεδήλωσεν. Ἐὰν μὲν οὖν ἀποδειχθῇ, ὅτι ἡ τοιαύτη ἄγνοια οὐκ ἀντιμάχεται πρὸς τὸ παντέλειον τοῦ Θεοῦ, τότε οὐχ οὕτω δυσχερανῶ τοῖς λεγομένοις· ἕως δ' ὕποπτόν μοί ἐστι τὸ δόξασμα ὡς πρὸς τὴν ἀρχικωτάτην ἔννοιαν, ἣν ἔχομεν περὶ τοῦ Θεοῦ, κατὰ τὸν μέγαν Καρτέσιον, τέως ἐκ τοῦ αὐτοῦ αὐτὸς οὐ πίομαι ποτηρίου.



οὗτος ἐξ ἁπάσης τῆς ἀλληλουχίας τῶν συμβαινόντων, τῶν ποικίλως αὐταῖς τὸ πολίτευμα μετακινούντων· ὅταν μὲν γάρ ποτε τυγχάνωσι παρεκτρεπόμεναι, ἔργα τινὰ φωταγωγοῦντα ἐπανάγει ἐκεῖσε· ὅταν δὲ πιστῶς καὶ συμφώνως τῇ ἑαυτῶν κλήσει καὶ φύσει προϊῶσιν, ἕτερά τινα ἔργα ἐπισυμβαίνοντα δοκιμάζει αὐταῖς τὴν ἀρετήν· ἔστι δ' ὅτε καὶ ἀνάγκαι τινὲς ἐπελθοῦσαι καταλαμβάνουσιν αὐτὰς καὶ παρασύρουσιν εἰς φοράν τινα ἀναπόδραστον. Ἀλλ' ἐν ἅπασι τούτοις δάκτυλος Θεοῦ ὑπενεργεῖ, ὑποδεικνὺς τοῖς ἔθνεσι τὸν προκείμενον ἑκάστῳ δρόμον, καὶ ἡγούμενος αὐτοῖς τούτου, παρακελευόμενός τε καὶ προτρεπόμενος μέχρι τοῦ τέρματος, πρὸς ὃ καὶ πανσόφως οἰκονομεῖ τὰ παρ' αὐτοῦ νουθετήματα καὶ χειραγωγήματα· καὶ δὴ καὶ καταργῶν καὶ δεσμεύων, ὅπου δεῖ, ἐν καιροῖς τισι χαλεποῖς καὶ δυσμεταχειρίστοις τὴν τούτων ἐλευθερίαν, αὐτὸς ἀναλαμβάνων τὴν διεξαγωγὴν τῆς κοινωνικῆς καταστάσεως καὶ προόδου. Μάλιστα δὲ πάντων τὰ ἀρτιπαγῆ ἔθνη, τὰ ἤδη πρῶτον συνιστάμενα, ἢ ἐξ ὑπαρχῆς ἀναγεννώμενα διὰ μόχθων καὶ ταλαιπωριῶν, τὰ ζωῆς μὲν καὶ ἐνθουσιασμοῦ καὶ μένους πνέοντα, οὔπω δὲ πεῖραν ἔχοντα τῆς πολιτικῆς συνέσεως, ταῦτα δὴ, ἕως ἐπικρατούσης τῆς ὁρμῆς καὶ ἀβουλίας οὐκ ἔστιν αὐτάρκη πρὸς τὴν δι' ἑαυτῶν κατόρθωσιν τοῦ προωρισμένου ἔργου, αὐτὸς ἀναδέχεται Θεὸς ἰδιαίτερον, κηδόμενος καὶ διακυβερνῶν ἐν τῇ χρηστότητι τῆς βαθυσόφου αὐτοῦ προνοίας. (α) Ἀλλὰ καὶ ἐν οὕτω προφανεστάτοις δείγμασι τῆς οὐρανίου ἀναμίξεως καὶ μεσολαβήσεως εἰς τὰ γήϊνα πράγματα, ἄλλως τε καὶ ὅταν πληρεστάτη εἶναι δοκῇ ἡ ὑπερτάτη κυριαρχία, ἔστιν αὖ διοπτεύειν ἀεὶ τὰ ἔθνη ἀποπειρώμενά πως καὶ ἐπιχειροῦντα ἐνεργεῖν ἐλευθέρως. Ἔπειτα δὲ τέλος, ὅταν ἡ κοινωνία ἐκκριθεῖσα καὶ ἀπαλλαγεῖσα τῆς ἐπιτροπείας ταύτης, ἐπιφθάσῃ τὴν τοῦ ὀρθοῦ λόγου καὶ τῆς φρονήσεως ἡλικίαν, ὑπ' εὐθύνην οὖσα καὶ ὑπόλογον ἀποδιδοῦσα τῶν ἑαυτῆς πράξεων, τότε δὴ ὁ περὶ αὐτὴν ὁρισμὸς ἐν τοῖς πλείστοις γοῦν ἀνατίθεται μᾶλλον ὑπὸ τὴν ἰδίαν αὐτῆς ἐξουσίαν καὶ τήρησιν. Τὸ γὰρ ἐφικέσθαι τοῦ ἀκροτάτου τέ-

(α) «Ἡ μὲν αἵρεσις τῶν πρακτῶν ἀεὶ ἐφ' ἡμῖν ἐστίν· ἡ δὲ πρᾶξις πολλάκις κωλύεται κατά τινα τρόπον τῆς θείας προνοίας.» Δαμασκ. αὐτόθ. μγ'.

λους, ὃ θεόθεν πρόκειται τῇ ὅλῃ αὐτῆς πορείᾳ, κατὰ τὸ μᾶλλον καὶ ἧττον λοξοποροῦσαν καὶ ἐξολισθαίνουσαν καὶ κατοκνοῦσαν, ἢ τοὐναντίον εὐθυδρομοῦσαν σπουδαίως καὶ ἀπαρεγκλίτως, καὶ οὕτως ἔργα ἀξιόμισθα ἢ ἀξιόποινα κατεργαζομένην, τοῦτο πάντως ἐξήρτηται τῆς ἰδίας αὐτῆς βουλήσεως.

§. 388. Τὰ δ' ἔθνη τὰ ἀκμαῖα καὶ σοφὰ τόγε πλεῖστον ἀπήλλακται τῆς θεόθεν ἀνάγκης τῆς διεξαγούσης τὴν γένεσιν τῶν πολιτειῶν· αὐταρκέστερα γὰρ ὄντα, δι' ἑαυτῶν μᾶλλον κατορθοῖ τὸ οἰκεῖον διαφερόντως. Οὐ μόνον γὰρ ἱκανά ἐστι σκέπτεσθαι περὶ τῶν προσηκόντων τῇ ἑαυτῶν φύσει καὶ διανοίᾳ καὶ καταστάσει, ἀλλὰ καὶ κατέχειν καὶ διεξάγειν πάσας αὐτῶν τὰς δυνάμεις, καὶ χωρεῖν ὁμόσε πρὸς τὴν τῶν νοηθέντων κατόρθωσιν. Ἐὰν δέποτε κακῶς βουλευσάμενα, πλανᾶται ἢ ἀκινητῇ, ἔχει περὶ ἑαυτὰ καὶ χρόνον καὶ τόπον καὶ περιστάσεις καὶ ὁδηγίας καὶ δοκιμασίας, δεικνύντα αὐτοῖς τὸ εὐθὲς, καὶ εἰς ἐπιστροφὴν καὶ ἐπανόρθωσιν ἄγοντα. Οὐ γὰρ δήπου ἐγκαταλιμπάνει αὐτὰ ὁ ὑπέρτατος ἁρμοστὴς τῶν πραγμάτων καὶ σωφρονιστὴς τῶν ἀνθρώπων, ὡς ἀεὶ παρεστὼς αὐτοῖς εἰς ὁδηγίαν καὶ φωτισμόν· ἀλλ' ἐν τοῖς περὶ αὐτὸν τὸν βίον καὶ τὴν διαχείρισιν τῶν πραγμάτων στρεφομένοις, ἐν τοῖς βουλεύμασί τε καὶ τοῖς ἐκ τούτων προκύπτουσιν, ἐλεύθερα καὶ ὑπ' εὐθύνην ἐςίν· αὐτῶν γὰρ ἔργον ἐστὶν, ὅταν δέῃ, ἰδεῖν τε καὶ γνῶναι, βουληθῆναί τε καὶ πρᾶξαι· ὁ δὲ Θεὸς οὐκ ἐπ' ἄλλο ἀναμίγνυται τῇ βουλήσει αὐτῶν, εἰμὴ ἵνα δικάσῃ τὸ παρ' αὐτῆς ἔργον, καὶ δοκιμάσῃ πρὸς διόρθωσιν καὶ κάθαρσιν· αὐτὴν δὲ τὴν περί τινος βούλησιν οὐκ αὐτὸς συνίστησιν οὐδὲ δημιουργεῖ· οὕτω γὰρ ἂν ἀποκτείνειε μᾶλλον αὐτὴν, ἀνυπεύθυνον ἀναδείξας, καὶ ἀνατρέψας ὅλως τὴν τοῦ αὐτεξουσίου φύσιν. Ἀλλ' οὐ μόνον οὐ καταστρέφει τὴν τοῦ ἀνθρώπου αὐτεξουσιότητα ὁ Θεὸς, ἀλλὰ καὶ διατηρεῖ παντοίοις τρόποις καὶ τελειοποιεῖ καὶ ἀνυψοῖ, ὡς τὸ τιμιώτατον καὶ ἁγιώτατον οὖσαν τῶν ὧν ἐδωρήσατο τοῖς αὐτοῦ ποιήμασιν. Ἄρα μόνον ἐγρηγορεῖ ἐπὶ τῶν κατηρτυμένων κοινωνιῶν, πειράζων αὐτὰς ἐν χρηστότητι, καὶ δικάζων πατρικώτερον· ἐνταῦθα γὰρ ἵσταται ἡ πρόνοια αὐτοῦ· τὸ δὲ περαιτέρω ἰέναι, κωλύει ἢ ἀφαιρεῖ τὴν

SISMANOGLIO MEGARO



κεχορηγημένην ἐλευθερίαν, ὅπερ σαφὴς ἂν εἴη ἀντίφασις. (α)

§. 389. Καίτοι οὐκ ἀμοιρεῖ τάξεως ἡ τῶν κοινωνικῶν πραγμάτων φορά· οὔτε γὰρ ἐν τῷ φυσικῷ οὔτ' ἐν τῷ ἠθικῷ, οὔτ' ἐν τῇ φύσει οὔτ' ἐν τῷ ἀνθρώπῳ, τὰ γινόμενα εἰκῇ καὶ ἀλόγως ἢ παραλόγως συμβαίνει· ἀλλ' ἐνταῦθα ἡ τάξις οὐ περιέρχεται ἔν τινι ῥητῷ χρόνῳ καὶ τόπῳ· οὐ γὰρ πρόεισι κατὰ τὴν ἀκρίβειαν τῶν μαθηματικῶν ὑπολογισμῶν· πρόεισι μὲν γὰρ, ἀλλ' ἐπικαμπτομένη μεταξὺ, ἀμφικυμαινομένη τῇδε κἀκεῖσε καὶ ἀοριστaίνουσα, ὥσπερ δηλονότι προσήκει ταῖς ἐλευθέραις οὐσίαις. Ἕκαστον γὰρ ἔθνος τοῖς καλῶς ἐπιστήσασιν εὑρίσκεται κατακολουθοῦν νόμῳ τινὶ ἰδίῳ, πανταχοῦ ἐν τῇ κατ' αὐτὸ ἱστορίᾳ καθορωμένῳ· ἀλλ' ἐπειδὴ ὁ νόμος οὗτος ἐπιβέβληται μετὰ καὶ τῆς ἐλευθερίας, ποικιλοτρόπως καὶ κατὰ τὸ μᾶλλον καὶ τὸ ἧττον ἀκριβῶς ἐκπληροῦται· οὐ γὰρ ἀναποδράστως αὐτῷ πειθαρχεῖ. Τὸ δὲ τέλος, πρὸς ὃ ἀφορᾷ ὁ νόμος οὗτος, φαίνεται ἐκ τῆς συνδρομῆς περιστάσεών τινων ὅλως θεοσδότων, οἷον τῆς γῆς, τοῦ κλίματος, τῆς γεωγραφικῆς θέσεως, τῆς κράσεως, τῆς διανοητικῆς εὐφυΐας, τῶν πατρίων παραδόσεων, τῶν ἀνέκαθεν ἠθῶν καὶ ἐθίμων, τῆς ἐν τῇ ἱστορίᾳ τάξεως καὶ τῆς εἰς τὸν πολιτισμὸν προκοπῆς· ταῦτα γὰρ πάντα προνοίας ἐστὶ δωρήματα. Ὡς δὲ πρὸς τὴν ἐκτέλεσιν καὶ τὴν πρᾶξιν, τὰ μέγιστα ὁ ἄνθρωπος συμβάλλεται· εἰ γὰρ καὶ οὐ δύναται παντάπασι κρείττων γενέσθαι τῶν θεόθεν τούτων ἐπενεργημάτων, δύναται ὅμως ἀναβαλέσθαι ἢ παραχρῆμα καταπρᾶξαι ἔργα τινὰ, καὶ πρὸς τοῦτον ἢ ἐκεῖνον τὸν σκοπὸν, καὶ προθυμότερον ἢ ῥαθυμότερον· τὸ γὰρ μᾶλλον ἢ ἧττον οἰκειοθελῶς συμφωνῆσαι τοῖς τοῦ Ὑψίστου θελήμασι, τοῦτο ὅλως ἐστὶν ἔργον ἀνθρώπινον, ὃ δὴ καὶ διακρίνει τὰ ἔθνη τὰ χρηστὰ καὶ τὰ ἀξιάγαστα ἀπὸ τῶν πονηρῶν καὶ τῶν οὐτιδανῶν· ἡ μὲν γὰρ κλῆσις καὶ ἡ τάξις αὐτῶν οὐρανόθεν καταπέμπεται· τὰ δ' ἔργα ἐστὶν αὐτῶν ἴδια, ἐφ' οἷς καὶ δικαίως κλεΐζεται ἢ ἐπιδυσφημεῖται.

§. 390. Καὶ ἄλλως δὲ εἰπεῖν συγκεφαλαιουμένους, ἐν τῷ ἠθικῷ

(α) Τοῦτο ἁπλῶς οὕτω λεγόμενόν ἐστιν ὀρθόν· ἐὰν δὲ συνυπενοῆται, ὅτι καὶ ἡ πρόγνωσίς ἐστι τῶν ἀναιρούντων τὴν ἐλευθερίαν, ἀπέχω ἐκ τῶν προειρημένων.

κόσμῳ δύο τινὰ σαφῶς διακρίνεται· ἡ τάξις ἡ ὑποδεδειγμένη ταῖς κοινωνίαις εἰς τὴν πρόσφορον διεξαγωγὴν τῆς ἑαυτῶν πολιτείας, καὶ ὁ τρόπος καθ' ὃν διεξάγονται ὡς πρὸς τὸν ὑπογραμμὸν τῆς τάξεως ταύτης· ἢ τὸ τέλος πρὸς ὃ *ὀφείλουσιν ἐξανύειν*, καὶ τὸ τέλος πρὸς ὃ *ἐξανύουσιν*· ἢ τὸ ἀγαθὸν ὃ *πρᾶξαι εἰλήχασι*, καὶ τὸ ἀγαθὸν ὃ *πεπράχασι*· ταυτὸν εἰπεῖν, ἔστι τὸ *δίκαιον* καὶ τὸ *γεγονός*· τὸ μέν, ἐκ Θεοῦ· τὸ δέ, ἐξ ἀνθρώπων· ἀμφότερα δὲ πάντως λήξει ποτὲ εἰς ἁρμονίαν, ὅταν ὁ ἄνθρωπος ἐντελῶς καθαγιασθῇ· ἀλλὰ πρὶν ἢ ἔλθῃ τὸ πλήρωμα τοῦτο, ἐλάχιστα συμφωνεῖ θάτερον θατέρῳ, ἐνίοτε δὲ καὶ διαμάχεται ὅλως. Καὶ οὐδέποτε μὲν αἱ βουλήσεις εἰς τοῦτο διαφθορᾶς προέρχονται, ὥστε πᾶν τὸ δίκαιον ἀποσείσασθαι· οὐδέποτε δ' ὡσαύτως ἀνυψοῦνται εἰς τὸ τέλειον τῆς ἁγιότητος· ἥκιστα δ' ὅταν καί ποτε τύχωσιν εὐθυποροῦσαι, βαίνουσι μέχρι τέλους ἀπαρεγκλίτως· οὐδεὶς γὰρ ἂν εὕροι οὔτ' αὐτόχρημα τερατώδεις κοινωνίας, θεωρουμένας καὶ ἐν αὐτῇ αὐτῶν τῇ ἄκρᾳ παραφορᾷ, οὔτε μὴν παντάπασιν ἀκραιφνεῖς καὶ ἀνεπιλήπτους. Τοιαύτη γὰρ τελειότης οὐκ ἔστι τοῦ κόσμου τούτου· ὅτι ἐντεῦθεν τὸ ἀνθρώπινον δοκιμάζεται ἀδιακόπως, μέχρις ἂν διὰ πολλοῦ μὲν ἀγῶνος, διὰ μακροῦ δὲ χρόνου ἐπιτύχῃ τῆς νίκης ἐκ τῆς τοῦ βίου καθαρότητος, ἣν ὥρισεν αὐτῷ ὁ οὐράνιος Ἀθλοθέτης.

§. 391. Οὐκ ἄρα τὸ *γινόμενον* ἀποδίδωσιν ἀκριβῶς αὐτὸ τὸ *δίκαιον*, ἀλλ' ἀτελῶς μόνον σκιαγραφεῖ καὶ εἰκονίζει, συμβαλλόμενον οὐ μικρὸν εἰς τὴν αὐτοῦ κατανόησιν, ὅταν προσεπιλάμψῃ καί τις ἀποκάλυψις καθαρωτέρα, ἐκ τοῦ ὀρθοῦ καὶ ἀδιαφθόρου λόγου τοῦ καταυγάζοντος ἡμᾶς πρὸς τὸ καθῆκον. Ὁ δ' ἐκ συστήματος συγχέων τὸ *γεγονὸς* πρὸς τὸ *δίκαιον*, καὶ φανταζόμενος ὅτι ὃ γέγονε, τοῦτο καὶ ἔδει γενέσθαι, φρεναπατᾶται πανταχόθεν περί τε τοῦ Θεοῦ περί τε τοῦ ἀνθρώπου, ὡς διαστρέφων ἑκατέρου τὴν φύσιν· τῷ μὲν γὰρ ψευδῆ σοφίαν, τῷ δὲ ψευδῆ ἀρετὴν περιάπτει, ἀμφότερα ἀπὸ μιᾶς κατεξευτελίζων, τόν τε κτίστην καὶ τὸ κτίσμα.

§. 392. Ἐν μὲν γὰρ τῇ φύσει τὸ γιγνόμενον ταυτίζεται τῷ δικαίῳ, εἴπου ἐξείη τῇ αὐτῇ χρῆσθαι φράσει καὶ περὶ ὄντων μὴ ἐλευθέρων· ἐνταῦθα γὰρ ἡ τάξις πληροῦται ἐν ἅπασι μετὰ πάσης

SISMANOGLIO



τῆς ἀκριβείας καὶ μαθηματικῆς λεπτομερείας· τὸ γὰρ γιγνόμενόν ἐστιν αὐτὸ τὸ μέλλον πάντως γενήσεσθαι, καὶ τὸ ὑπάρχον αὐτή ἐστιν ἡ ἰδέα τοῦ Θεοῦ, αὐτὴ ἡ βουλὴ τῆς ἀπειροσόφου Προνοίας, τὸ ὑλικὸν ὑποβεβλημένη εἶδος, δρῶσά τε καὶ αἰσθητὴ καθισταμένη. Οὐδεμία δ' ἀσυμφωνία τῷ ἀρχομένῳ πρὸς τὸ ἄρχον, οὐδεμία τύρβη καὶ οὐδεμία ἀντίταξις· καὶ αὐτὸς γὰρ Νεύθων κακῶς διενοήθη, φοβηθεὶς ἀθέτησίν τινα ἢ ἐξαίρεσιν ἐν τῷ κατ' αὐτὸν συστήματι· ἁπαξάπαντα γὰρ καθυπάγεται καὶ συνᾴδει αὐτῷ. Ἐκ δὲ τῆς ἁρμονίας ταύτης ῥᾴδιον μὲν τὸ παρελθὸν ἐξηγήσασθαι, ῥᾴδιον δὲ τὸ ἐσόμενον προϊδεῖν τῆς ὑλικῆς κτίσεως, εἴγε μόνον εἰδείη τις τοὺς νόμους τοὺς διέποντας τὰς φορὰς καὶ τὰς κινήσεις αὐτῆς.

§. 393. Ἀλλ' οὐχ οὕτως αἱ τῶν ἀνθρώπων κοινωνίαι· καὶ γὰρ αὗται χωροῦσι μὲν κατά τι σύστημα, ἀλλ' οὐχ ἑκοῦσαι ἀέκουσαι πειθαρχοῦσι τούτῳ μετὰ πάσης λεπτομερείας· ἀκολουθοῦσι μὲν γὰρ τούτῳ, ἀλλ' ἀκολουθοῦσιν ἐλευθέρως, δυνάμεναι καὶ παρανομῆσαι, ὅπερ καὶ οὐ τῶν σπανιωτάτων ἐστίν. Ἐντεῦθεν δὲ χαλεπὸν μὲν τούτων καταμαθεῖν τὴν ἱστορίαν, χαλεπώτερον δὲ προϊδεῖν τὸν μέλλοντα ὁρισμόν. Ἵνα γάρ τις ἐπιλύσῃ τηλικαῦτα ζητήματα, πρῶτον μὲν ὀφείλει εἰδέναι πρὸς τί τέλος ἐδημιούργησεν ὁ Θεὸς τὸ ἀνθρώπινον γένος· ἔπειτα πρὸς τί τέλος ἰδιαίτερον συνέστησε μίαν ἑκάστην μερίδα καὶ κατατομὴν τούτου. Ἀλλ' εἰ τὸ πρῶτον οὐ παντάπασίν ἐστιν ἀναμφισβήτητον τοῖς φιλοσοφοῦσι, τί ἔσται περὶ τοῦ δευτέρου, ὃ σκότος μελάντερον καὶ γνόφος πυκνότερος περικαλύπτει καὶ κατασκιάζει; τί δήποτ' ἄρ' ὁ ἄνθρωπος ὀφείλει πρᾶξαι ἐπὶ τῆς γῆς; τί δὲ καὶ ἑκάστη κοινωνία ἰδιαίτερον; Τὰ ζητήματα ταῦτα πολλῆς γέμει τῆς ἀσαφείας.

§. 394. Ὅταν δέ τις διαπορήσῃ ἔτι, εἰ γέγονεν ὃ ἔδει γενέσθαι, καὶ εἰ τὰ γεγονότα συνᾴδει τοῖς τοῦ νόμου ἐπιτάγμασιν· ἅμα δὲ ταῦτα διαπορήσῃ οὐ μόνον περὶ τοῦ ὅλου ἢ τοῦ γένους, ἀλλὰ καὶ περὶ τῶν μερῶν ἢ τῶν εἰδῶν, ἐπειδὴ ἐνταῦθα τὸ καθῆκον καὶ ἡ πρᾶξις, ἢ ἡ τάξις ἣν ὥρισεν ὁ Θεός, καὶ τὸ ἔργον ὃ εἰργάσατο ὁ ἄνθρωπος, οὐ κατ' ἀνάγκην συμφωνοῦσιν ἀλλήλοις οὐδὲ συμπίπτουσιν εἰς ἁρμονίαν, ἡ τοῦ πρώτου προβλήματος λύσις οὐδὲν συμβάλ-

λεται εἰς τὴν τοῦ δευτέρου· οὐδὲ γὰρ ὅταν τις ἔχῃ συγκεκροτημένην τὴν ἐπιστήμην περὶ τοῦ ἀνθρωπίνου ὁρισμοῦ καθόλου τε καὶ κατὰ μέρος, οὐδὲν ἐντεῦθεν γνώσεται περὶ τῆς τῶν μέσων καὶ τῶν γεγονότων ἀληθείας. Ἀνάγκη γὰρ ἀναδιφῆσαι καὶ τὰ ἱστορικὰ ὑπομνήματα τά τε καθόλου καὶ τὰ κατὰ μέρος, καὶ ἀνευρεῖν τὰ διηγήματα περὶ αὐτῶν τῶν πραγμάτων τῶν συμφώνως ἢ ἀντιθέτως τῷ δικαίῳ γενομένων. Ὥστε ἵνα τις κρίνῃ ὀρθῶς ὅσα πω ὁ ἄνθρωπος πέπραχεν, οὐ μόνον βαθὺς ἔσται θεολόγος, ἀλλὰ καὶ πολυμαθὴς ἱστορικός.

§. 395. Ἵνα δὲ κρίνῃ τὸ μέλλον, καὶ μάλιστα τὸ ἀφεστὼς καὶ μετὰ πασῶν τῶν περιστάσεων, πῶς ἄν τις ἐλπίσειε κατορθώσειν τοῦτο, τοσαύτης πυκνῆς καὶ γνοφερᾶς ἀχλύος προκεχυμένης; Προϊδεῖν γὰρ βουλήσεις μετὰ βεβαιότητος, καὶ ὥσπερ ἂν εἰ ἐνηργήκεσαν ἤδη, ἕν τι τοῦτο τῶν ἀδυνάτων ἐστίν· ἴσως δ᾽ ἂν μόνον συνάγων μετ᾽ ἐπιστασίας πᾶν ὅ,τι ὑπ᾽ ἀνάγκης ἐστὶν ἐν τῇ τῶν ἀνθρωπίνων φορᾷ, καί πως τολμῶν ὑπεισδῦσαι εἰς τὸ βάθος τῶν περὶ τῆς δημιουργίας θείων βουλῶν, τῇ τε ἱστορίᾳ καὶ τῇ πείρᾳ ἐπιμελῶς συμβουλευόμενος, δυνηθείη ἄν ποτε ὡς ἔγγιστα προειπεῖν ἀόριστά τινα καὶ παντὸς ἄλλου πιθανώτερα· ἀλλὰ προειπεῖν ἀσφαλῶς περί τινος ἔργου τὸν χρόνον καὶ τὸν τόπον καὶ τὸν τρόπον μετ᾽ ἀκριβείας, τοῦθ᾽ ὑπὲρ λόγον, μᾶλλον δὲ παρὰ λόγον ἐστίν, εἰμήπου κρίνειν πρόκειται περί τινος ἀναποδράστου ἀναγκαιότητος, ἐπισυμβαινούσης τῷ τῶν ἐθνῶν βίῳ, ὥσπερ καὶ τῷ τῶν καθ᾽ ἕκαστον· ὁ γὰρ εἰδὼς τὸν νόμον τῆς τοιαύτης ἀναγκαιότητος, καὶ πᾶσαν τὴν σειρὰν καὶ τὴν ἀμετάβλητον ἀλληλουχίαν καὶ τὴν τάξιν τινῶν γεγονότων, οὐκ ἀδυνατήσει εὐστοχώτερον μαντεύσασθαι τὸ ἐσόμενον· ἀλλ᾽ ὁ ἄνθρωπος ἐνταῦθα ὁμοίως ἔχει τῇ φύσει, ὡς φερόμενος ὑπ᾽ ἀνάγκης καὶ ἀδραστείας τινὸς καθάπερ ἐκείνη. Ταῦτα δὴ καὶ περὶ τῶν οὕτω καινότερον πειρωμένων συμβιβάζειν τὴν πρόγνωσιν καὶ τὴν ἐλευθερίαν.

§. 396. *ΣΥΓΚΕΦΑΛΑΙΩΣΙΣ τῶν περὶ ἐλευθερίας.* — Ὁ ἄνθρωπος κυρίως πρὸς δύο μόνα ὑποκείμενα στρέφεται, τὸ *ἀληθὲς* καὶ τὸ *ἀγαθόν*, καὶ δύο μόνας *δυνάμεις* ἔχει, τὴν πρὸς τὸ ἀληθὲς

SISMANOGLIO MEGARO



καὶ τὴν πρὸς τὸ ἀγαθόν· ἡ δ᾽ ἐλευθερία οὐ τρίτη τις δύναμίς ἐστιν, ἕτερον ὑποκείμενον καὶ ἑτέρας ἐργασίας ἔχουσα παρὰ τὴν νόησιν καὶ τὴν πάθησιν· δύναμις μὲν οὖν οὐκ ἔστιν, ἔστι δέ τι πλέον· αὐτὴ γάρ ἐστιν ἡ ψυχὴ μετὰ πάσης τῆς ἐνεργητικότητος, δι᾽ ἧς αὐτεξουσιάζει, βουλεύεται, ἀποφαίνεται καὶ ἐκτελεῖ· εἰ δέ τις βούλεται ταύτην δύναμιν εἶναι, ἡ δύναμις τῶν δυνάμεων ἔσται, ἡ ἐξουσία τοῦ διακυβερνᾷν αὐτὰς καὶ κατὰ βούλησιν διιθύνειν. Ἐντεῦθεν καὶ ἡ *αὐτότης* οὐχ ἁπλῶς ἐστιν αἰτία, ἀλλὰ πρώτη αἰτία, (ὅσον ἐνδέχεται δηλονότι δημιουργήματι πεπερασμένῳ,) καὶ οἷα εἰς ἑαυτὴν ἀναφέρειν ὅλως τὰ ἐξ ἑαυτῆς προϊόντα· ἐντεῦθεν καὶ τάξιν εἴληχε προσώπου, ὃ μετὰ τῶν ἐμφύτων αὐτῷ ἰδιοτήτων ἢ ἱκανοτήτων, ἔχει τὴν διεξαγωγὴν καὶ τὴν εὐθύνην τῶν ἰδίων ἐνεργημάτων· ἐντεῦθεν, ὡς ἔπος εἰπεῖν, καὶ τὸν τῆς ἀνθρωπίνου φύσεως χαρακτῆρα περιβέβληται· ἄνευ γὰρ τῆς ἐλευθερίας εἴη μὲν ἂν ἐνεργὸς οὐσία, οὐ μέν τοιγε ἀνθρωπίνη, καὶ ἔχοι μὲν ἂν τὰς δύο ἐκείνας δυνάμεις, (α) οὐ μέν τοιγε καὶ τὴν ἠθικὴν ἀξίαν· τὸ γὰρ ἠθικὸν ἐκ τῆς ἐλευθερίας τῇ ψυχῇ περιγίνεται. Τιμήσας δὲ ταύτην ὁ Θεὸς τῷ αὐτεξουσίῳ, οὐχ ἑαυτῷ ἀντιπεριπίπτει ἐν οἷς ἐγρηγορῶν αὐτὴν διακυβερνᾷ· εἰς γὰρ τὸν κατ᾽ αὐτὴν ὁρισμὸν οὕτω προγινώσκων ἐπε-

(α) Τὴν νόησιν δηλαδὴ καὶ τὴν πάθησιν, ἀλλὰ περιωρισμένας πάντως· ἡ γὰρ αὐτεξουσιότης ἀχώριστός ἐστι τῆς λογικῆς νοήσεως. Ἑαυτὸν δ᾽ ὁ ἄνθρωπος πρὸς τὰ ἑτέρωθεν δρῶντα ἀντιτίθησι διὰ τῆς ἐλευθερίας, καὶ οἷον τὴν προσωπικὴν καὶ ἀτομικὴν αὐτοῦ ὑπόστασιν ἐξιδιάζει· ἀλλὰ καὶ εἰς πᾶν ὅ,τι ἐκ τῆς ἐλευθερίας αὐτοῦ πρόεισι, δικαίωμα ἀναφαίρετον καὶ ἀναπαλλοτρίωτον ἔχει· τοῦτο γὰρ μάλιστα ἴδιον ἑκάστου, ὃ αὐτὸς βουλόμενος ἐργάζεται, οἰκείαις χερσὶν αὔξων καὶ τελειοποιῶν τὴν ἰδίαν ὑπόστασιν. Ὥστε ἐὰν ὁ ἄνθρωπος λέγῃ δικαίως, τοῦτο ἐμόν, τοῦτο ἴδιον ἐμοῦ κτῆμα, διὰ τὸ ἐλεύθερος εἶναι τοῦτο ποιεῖ· τὰ δὲ κτήνη κτήματα μᾶλλόν ἐστι τοῦ ἀνθρώπου, ἢ αὐτὰ ἕτερόν τι κέκτηται· ὅτι αὐτεξουσιότητος ἀμοιροῦντα, οὐδὲν κυρίως αὐτουργεῖ· καὶ κατά γε τοῦτο εἶεν ἂν ἀληθῶς αὐτόματοί τινες μηχαναί. Εἰ δὲ καὶ ὁ ἄνθρωπος οὐκ ἦν ἐλεύθερος, οὐκ ἂν εἶχεν ἰδιοποιεῖσθαί τι καὶ εἰς ἑαυτὸν ἀναφέρειν. Πρώτιστον δὲ καὶ ἀναφαίρετον κτῆμα ἑκάστου, αὐτή ἐστιν ἡ ἰδία προσωπότης ἢ αὐτότης, ἡ ἐκ τῆς ἐλευθερίας εὐκρινῶς τιθεμένη. Ἔπειτα δὲ καὶ πάντα τὰ ἐξ αὐτῆς προϊόντα, ὧν ἀντιποιούμενος ἕτερός τις, εὐπρόσωπον δῆθεν λόγον προβαλλόμενος τὴν παγκοινότητα ἢ παγκοινοσύνην (communisme), τὴν πάγκοινα πάντα πᾶσιν ἀναπλαττομένην, σφετερίζεσθαι οὕτως λέγεται, καὶ τῇ ἐλευθερίᾳ τοῦ ἀληθῶς κυρίου ἀντιστρατεύεται.

νεργεῖ, ὥστε μὴ ἀναιρεῖν τὸ μέγιστον αὐτῇ δῶρον· οὐ μὲν γὰρ ἐγκαταλιμπάνει οὐδ' ἀνίησι ταύτην οὐδ' ἄμοιρον ἐᾷ τῆς παρ' αὐτοῦ προνοητικῆς παραστάσεως, ἀλλ' οὕτω δικαίως ἐπιμετρεῖ αὐτὴν καὶ οὕτω σοφῶς διανέμει, ὥστε δύνασθαι καὶ αὐτὴν ἑαυτῆς, ὅπερ ἐστὶ μάλιστα σύμφωνον τῷ θείῳ βουλήματι, προνοεῖν κατά τι καὶ φύλακα εἶναι.

Τοιαύτη οὖν ἡ ἐλευθερία, ἣ ὁρισθείη ἂν ἐκ τῶν εἰρημένων τὸ *τῆς ψυχῆς εἶναι κράτος, δι' οὗ αὐτὴ διεξάγει ἑκατέραν τῶν ὧν εὐμοιρεῖ δυνάμεων πρὸς τὸ ἴδιον τέλος, τὴν μὲν δηλονότι πρὸς τ' ἀληθὲς, τὴν δὲ πρὸς τ' ἀγαθόν.*

## *ΣΥΜΠΕΡΑΣΜΑ*

### *τῶν τριῶν προηγουμένων Κεφαλαίων.*

### *Περὶ τῆς νοήσεως, τῆς παθήσεως καὶ τῆς ἐλευθερίας θεωρουμένων πρὸς ἀλλήλας.*

§. 397. Αἱ τρεῖς δυνάμεις, ὧν τὰ διάφορα ἔργα ἐπεσκεψάμεθα μετ' ἄλληλα, πράγματι μὲν οὐκ ἐνεργοῦσιν οὕτω χωρὶς ἀλλήλων, ὥσπερ ἡ παρ' ἡμῶν ἀνάλυσις ἐθεώρησεν· ἀλλὰ διὰ τὴν τῆς ἐπιστήμης χρείαν ἐχωρίσαμεν ἀπ' ἀλλήλων καὶ οἷον εἰς τρεῖς ὑποστάσεις χωριστὰς διεκρίναμεν· οὕτω δ' ἀντὶ τῆς ἀληθοῦς τῶν πραγμάτων φύσεως ἀντικατεστήσαμεν ἐπινοίᾳ φύσιν τινὰ ἐπίτεχνον, ἁπλουστέραν μὲν ἐκείνης, ἀλλὰ σφάλλουσαν εἰς πλάνας τὸν μὴ καλῶς προσέχοντα. Διὰ ταῦτα τοῦ λοιποῦ οὐκέτι νοητέον τὴν νόησιν, τὴν πάθησιν καὶ τὴν βούλησιν ὡς τρεῖς διακεκριμένας ψυχὰς (α), ἀλλὰ τοὐναντίον χάριν τῆς ἀληθείας θεωρητέον αὐτὰς ὡς τρεῖς τρόπους μιᾶς καὶ τῆς αὐτῆς οὐσίας, ὡς τρία κατηγορήματα μιᾶς καὶ τῆς αὐτῆς ζωῆς, ἢ ὡς τὴν τριάδα τῶν ἐνεργειῶν ἐκ μιᾶς μόνης αἰτίας,

(α) Οὕτως εἶπον αἰσθητικὴν ψυχὴν, λογικὴν ψυχὴν κτλ. χωρίζοντες δηλ. ἑκάστην δύναμιν καὶ καθ' ἑαυτὴν φανταζόμενοι. Ἀλλὰ τοῦτο ἀντίκειται πρὸς τὸ ἑνιαῖον τῆς ἐνεργείας αὐτῆς, ὃ ἡ συνείδησις λαμπρῶς μαρτυρεῖ· αἱ γὰρ δυνάμεις τῆς ψυχῆς οἷον μορφαί τινες εἰσιν καθ' ἃς ἐνεργεῖ καὶ ἀναπτύσσεται αὐτὴ μία οὖσα.

SISMANOGLIO MEGARO



τῆς ψυχῆς, προϊουσῶν· ἀνάγκη ἄρα νῦν καταδεῖξαι τὴν διάλληλον αὐτῶν σχέσιν εἰς ἑνότητα συνιστῶντας.

§. 398. Πρώτη μὲν οὖν πασίδηλος συνάφειά ἐστιν ἡ τῆς διαδοχῆς καὶ γενέσεως, περὶ ἧς πολλάκις ἡμῖν εἴρηται· ἐκ γὰρ τῶν τριῶν δυνάμεων, ὧν ἡ *αὐτότης* εὐμοιρεῖ, ἡ πρώτη προφαινομένη ἐστὶν ἡ νόησις. Πῶς γάρ τις φιλήσει ἑαυτὸν μὴ γινώσκων; πῶς ἡσθήσεται ἢ ἀλγήσει ἀγνοῶν τὴν ἡδονὴν καὶ τὴν λύπην; Ὡσαύτως δὲ πῶς ἄρξει ἑαυτοῦ, κρινεῖ καὶ ἐκτελέσει ὁ μηδὲν αἰσθανόμενος, ὁ πάσης ἐννοίας καὶ ἀντιλήψεως καὶ συναισθήσεως ἀμοιρῶν; Ἡ νόησις, ἣν ἐξηγεῖται ἡ ἑνιαία καὶ ταυτοπρόσωπος ἐνεργητικότης, ἐξηγεῖται καὶ αὐτὴ τὴν πάθησιν καὶ τὴν ἐλευθερίαν. Ἀλλ' ἡ πάθησις ἐν κινήσει οὖσα οὕτω σφόδρα συνῆπται τῇ νοήσει, καὶ οὕτως ἀπρὶξ ἔχεται ταύτης, ὥστ' ἀμφότεραι θεωροῦνται τὸ ψυχολογικὸν πρωταίτιον τῆς βουλητικῆς δυνάμεως. Ἄλλως δὲ ἡ ἐλευθερία μεθ' ὧν συνεπάγει ἐργασιῶν, οὔτε πρόεισιν οὔτ' ἔχει περὶ ὃ στραφῇ, εἰ μὴ πρότερον ἀμφότεραι ἐκεῖναι προφαίνεσθαι καὶ ἐνεργεῖν ἄρξονται. Οὐ γὰρ ἐπικενῆς, οὕτως εἰπεῖν, κύριος ἑαυτοῦ τις γενήσεται, οὔτε διοικεῖ, ἢν μὴ παρῇ τὸ διοικήσεως χρῇζον· πάσῃ γὰρ κυβερνήσει δεῖ τοῦ μέλλοντος κυβερνηθήσεσθαι· τὸ δ' ἑαυτὸν κυβερνᾷν ἀναφέρεται πάντως πρὸς τὴν διττὴν ἐκείνην ἐνέργειαν, ἣν ἐξ ἀρχῆς ἡ ψυχὴ ὑφίσταται ἁπλῶς καὶ καθ' ὁρμήν· προϋποτίθησιν ἄρα τὰ διεξαγόμενα, μεθ' ἃ καὶ ἐπέρχεται πρὸς ἐποχὴν, πρὸς κρίσιν, πρὸς ἀναβολὴν ἢ ἐνδελέχισιν κατὰ τὸ δοκοῦν· ἄνευ δὲ νοημάτων ἢ παθημάτων οὐδεμία ὕλη ὕπεστι τῇ ἐλευθερίᾳ. Οὕτως οὖν πρώτη σχέσις ἐστὶν ἐκείνη, ὅτι ἡ μὲν νόησις προηγεῖται, ἑξῆς δὲ ἡ πάθησις ἀναφαίνεται, καὶ μετὰ ταύτην ἡ βούλησις· τὸ δὲ μέτρον τοῦ μεταξὺ χρόνου ἀδύνατόν ἐστι διορίσαι.

§. 399. Μετὰ δὲ τὴν σχέσιν ταύτην ἕτεραι ἐπακολουθοῦσιν. Οὐ γὰρ μόνον γίγνεται τὰ παθήματα ἐκ τῶν νοημάτων, ἀλλὰ καὶ μετατρέπεται καὶ χαρακτηρίζεται ἐκ τούτων. Ἐπειδὴ γὰρ ἡ μὲν πρὸς αὐτὸν φιλία προαπαιτεῖ τὴν ἑαυτοῦ γνῶσιν, ἡ δὲ ἡδονὴ ἢ λύπη τὴν τοῦ ἀγαθοῦ ἢ τοῦ κακοῦ ἔννοιαν, τὸ διαθῆσον ἡδέως ἢ ἀηδῶς ἀναγκαίως ὑποκείσεται τῇ νοήσει. Ὃ γάρ τις ὄψεται καὶ

κρινεῖ συντεῖνον ἢ ἀντιμαχόμενον τῇ οἰκείᾳ ὑπάρξει, τοῦτο καὶ καθάψεται τῆς ψυχῆς καὶ συγκινήσει μὲν αὐτὴν ἐν ἡδονῇ, ἔρωτι καὶ ἐφέσει, συνταράξει δ' ἐν λύπῃ, μίσει καὶ ἀποστροφῇ· ὅ,τι γὰρ καὶ ὅπως ἄν τις ἴδῃ καὶ πιστεύσῃ, τοῦτο καὶ ὡσαύτως διεγερεῖ τὴν πάθησιν, ὡς πρὸς τὴν τοῦ νοὸς κρίσιν μεθαρμοζομένην· ἀεὶ γὰρ τὸ πάθος συνεπαλλάσσει τῇ περὶ τῶν ἀγαθῶν ἢ τῶν κακῶν νοήσει, ὡς συνεπιτεινόμενον ἢ συνανιέμενον, καὶ συνευθυποροῦν ἢ συνεκτρεπόμενον τῇ περὶ τούτων κρίσει, ὃ δὴ καὶ προαποδέδεικται ἡμῖν πραγματευομένοις περὶ τῶν παθημάτων, τῶν αἰτίων καὶ τῶν χαρακτήρων αὐτῶν.

§. 400. Ἐπεὶ δ' οὐδ' ἐλευθερία προφαίνεται ἄνευ προηγουμένης νοήσεως, ἆρ' οὐκ ἐκ ταύτης καὶ χαρακτηρισθήσεται; πρὸς γὰρ τὸ αὐτεξουσίως πράττειν, ἀνάγκη ἅμα μὲν ἑαυτὸν γινώσκειν, ἅμα δὲ τὰ ὄντα τὰ ἐπενεργεῖν δυνάμενα. Ἦ οὐκ ἔστι τις τοσούτῳ μᾶλλον ἢ ἧττον ἐλεύθερος καὶ κατορθωτικὸς, ὅσῳ μᾶλλον ἢ ἧττον κρίνει καὶ ὀρθοφρονεῖ; Ὁ μὲν γὰρ ἀμαθὴς παρέρχεται πολλὰς ἀφορμὰς, ἐν αἷς καιρός ἐστιν ἐπέχειν καὶ διϊθύνειν τὸ ἐνεργητικὸν αὐτοῦ, ὡς ἀμοιρῶν τῆς ἀπαιτουμένης εἰς τοῦτο φρονήσεως καὶ εὐβουλίας· ἐν τούτοις γὰρ μόνον ἢ ἠθικὸς θεωρεῖται ἀξιέπαινος ἢ ἀξιόμεμπτος, ἐν οἷς ὁρᾷν δύναται· τὰ δ' ἐπέκεινα περαίνει οἱά περ τυφλή τις καὶ ἀναγκαστὴ δύναμις. Ὁ δὲ τοὐναντίον σοφὸς καὶ συνετὸς, ἢ καθόλου εἰπεῖν φιλόσοφος, ἐπὶ τοσοῦτον ἐπεκτείνει τὸ αὐτεξούσιον, ὅσον περ καὶ ἡ σκέψις περιλαμβάνει· ἡ γὰρ ἐν αὐτῷ κυβερνητικὴ δύναμις, κἀντεῦθεν ἡ ἠθικὴ ἀξία, συναύξει τῷ μέτρῳ τῆς ἐνούσης ἐπιστήμης καὶ νοήσεως. (α) Εἰ δὲ κακὸν ἡ ἀμάθεια, πολλῷ χεῖρον ἔσται ἡ πλάνη· ὅτι ἡ μὲν κωλύει, ἡ δὲ παρεκτρέπει τὴν βούλησιν· οὐ γὰρ ἀποινεὶ καὶ ἀμεταμελήτως πλανᾶταί τις ἀπὸ τῆς εὐθείας· ὅταν γάρ τις κακῶς κρίνῃ περὶ τῆς οἰκείας τάξεως καὶ περὶ τοῦ οἰκείου τέλους, ἀνάγκη πᾶσα τοῦτον κακῶς καὶ φέρεσθαι καὶ πράττειν· δυνατὸν μέντοιγε ἐν οἷς πλανᾶται ὀλεθρίως, δοκεῖν ἑαυτῷ ὀρθῶς ὑπολαμβάνειν καὶ ἀληθῶς· τότε δήπου

(α) Διὰ τοῦτο καὶ Ἀριστ. λέγει, ὅτι τὸ καθῆκον συναύξει τῇ φύσει καὶ ἀξίᾳ τοῦ ὄντος.

© SISMANOGLIO



ἡ μὲν κατὰ συνείδησιν προαίρεσίς ἐστιν ἀδιάφθορος· οὐχ ἧττον ὅμως σφαλερὰν ὁ τοιοῦτος ὁδὸν πορεύεται. Ἀμάθεια μὲν οὖν καὶ πλάνη διαστρέφουσι τὴν ἐλευθερίαν· σοφία δὲ καὶ φρόνησις σώζουσι ταύτην καὶ ἐπεκτείνουσι καὶ τελειοποιοῦσι.

§. 401. Τὸ μὲν τοίνυν πάθος ἐκ τῆς νοήσεως φύεταί τε καὶ χαρακτηρίζεται· ἀλλ' ἅπαξ ἀνεπτυγμένον ἀντιδρᾷ καὶ αὐτὸ πρὸς τὴν νόησιν, καὶ σφόδρα κατισχύει αὐτῆς· αὐτίκα γὰρ τὸν ὁπωσδήποτε διατεθειμένον περί τι, ὁμοίως ἀνάγκη καὶ διανοεῖσθαι περὶ αὐτοῦ· τὸ γὰρ εἴτ' ἀγαθὸν εἴτε κακὸν ἐλάχιστα ἡμῖν διαφέρον, ἐν περιφρονήσει ὁρῶμεν, οὔτε διαγνῶναι αὐτὸ προθυμούμενοι, καὶ τάχιστα ἐπιλανθανόμενοι· ἵνα γὰρ ἀπρὶξ ταῖν χεροῖν δραξώμεθα τῶν πραγμάτων καὶ μετὰ τῆς ἐς βάθος δϊϊούσης τε καὶ ἀναλυούσης προσοχῆς, ἐντονώτερον δεῖ παθήνασθαι καὶ ἰσχυρότερον ἡσθῆναι ἢ λυπηθῆναι, ἐπιθυμῆσαι ἢ ἀποστραφῆναι. Οὕτω γὰρ νῦν μὲν τὸ πάθος θερμουργὸν μέν ἐστιν, ἀλλ' ἁγνὸν, εὐθὲς καὶ ὑψηλὸν, ἀναφερόμενον εἰς σπουδαῖα καὶ ἐμβριθῆ καὶ ἀξιόλογα ὑποκείμενα, καὶ τότε ὁ ἐκ τούτου ἐμψυχούμενος καὶ ἀναζωπυρούμενος νοῦς, ἀκραιφνὴς καὶ ἀμφιλαφὴς καὶ βαθὺς πρόεισι μετὰ θαυμαστῆς ὅσης ἐνεργείας τε καὶ δραστηριότητος, καὶ δαιμονίως εἰς τὴν μεγαλοφυΐαν ἀναπτεροῦται, ὅταν πρὸς τῷ ἐξάρματι καὶ τὸ καινοφανὲς ἔχῃ τῶν νοημάτων. Οἱ γὰρ εἰπόντες ὡς ἡ εὐφυΐα ἐκ μακρᾶς εἴη καὶ λιπαρᾶς μελέτης καὶ ἐπιμονῆς, φαῖεν ἂν ὀρθότερον, ὡς καὶ ἐκ μεγάλου καὶ σφοδροῦ πάθους ἐστί. Φιλόσοφος γὰρ ἢ ποιητὴς, μεγάλης καὶ ἐξαισίου ἐννοίας εὐμοιρῶν, φέρει ἀεὶ εἰς τὰ μυχαίτατα τῆς καρδίας, οἷον πηγὴν ἀνεξάντλητον τῶν ἑαυτοῦ διανοημάτων, πάθος τι ἰσχυρὸν, ἔμμονον καὶ πρωτόγονον, ὅθεν αὐτῷ ἀναπιδύει καὶ ἀναβλύζει αὐθόρμητα τὰ ἐμπνεύσματα· τὸ γὰρ καταδεσπόζον αὐτοῦ πάθος κορέσασθαι ἐφιέμενος, καὶ ἐξεστηκὼς μὲν πρὸς τὸ κατακηλοῦν, διενοχλούμενος δὲ ὑπὸ τοῦ λυποῦντος, σφόδρα μερμηρίζων κατὰ φρένα καὶ κατὰ θυμὸν, καὶ οὐδαμῶς ἀτρεμίζων οὔτε πρὸς τὸν ἔρωτα οὔτε πρὸς τὴν ὀργὴν αὐτοῦ, ἀλλ' οἷον ἐξοιστρούμενος ἔνδοθεν, ἅπτεται δὴ τοῦ ἔργου ἐμπαθῶς καὶ μετ' ἐνθουσιασμοῦ, καὶ ὅλῃ τῇ ψυχῇ παραδίδοται αὐτῷ καὶ ἐμμένει· ἐκ δὲ τῶν τοιούτων ζωογό-

νων καὶ πολυφόρων συγκινήσεων θαύματα προκύπτει νοήσεως.

§. 402. Νῦν δὲ τοὐναντίον ἀγενὲς ὂν τὸ πάθος καὶ ψευδὲς, καὶ περὶ γλισχρα τινα καὶ ταπεινὰ περιστρεφόμενον, τὸ ἴδιον μόνον θηρεῦον, καὶ ἀδιάλλακτον ἀποβαῖνον τῷ τοῖς πλείστοις συμφέροντι, ἀπὸ μὲν τῆς ἐπιστήμης ἢ τῆς ποιήσεως ἀπάγει τὸν νοῦν, εἰς δὲ νοήματα οἰκτρὰ καὶ ἀνάξια παρεκφέρει· πᾶσαν γὰρ πρόληψιν καὶ πλάνην καὶ παράνοιαν, καὶ ὡς ἔπος εἰπεῖν, πᾶσαν κακίαν τῆς νοήσεως εὕροι τις ἂν ἐκ τῆς διαστρόφου παθήσεως ἀναβλύζουσαν. Ὃ τοίνυν δοκεῖ παραδοξότατον· πρῶτον μὲν γὰρ τὸ μὴ ὀρθῶς κρίνειν περὶ τῆς τῶν πραγμάτων φύσεως αἰτία τοῦ κακοῦ πάθους γίγνεται· ἔπειτα δὲ ἐκ τοῦ κακῶς ἤδη διεξάγειν τὸ πάθος ἡ χαμερπὴς καὶ παράλογος ἀποκυΐσκεται νόησις. Ἄρχεται μὲν γάρ τις παρανοῶν τὰ παριστάμενα ἀγαθὰ καὶ κακὰ, κἀντεῦθεν παθαίνεται περὶ αὐτὰ οὐχ ὅσον καὶ ὅπως προσήκει· ἐκ δὲ τούτου ὕστερον διασταθμᾶται τὰ πράγματα τοῦ λοιποῦ κατὰ τὸ ἐπικρατοῦν αὐτοῦ πάθημα, τὴν λύπην δηλαδὴ ἢ τὴν ἡδονὴν, τὸ μῖσος ἢ τὸν ἔρωτα· ποδηγετούμενος δ᾽ ἐκ τοσοῦτον ἐσκοτισμένης φιλαυτίας, ἐξοκέλλει ἄρα εἰς διανοήματα σύστασιν ἀλλόκοτον ἔχοντα. Οὕτω μὲν οὖν τὰ πάθη ἐπενεργεῖ πρὸς τὴν νόησιν.

§. 403. Ἀνερευνήσωμεν δὲ νῦν ἐκ τῆς πείρας ποίαν ἔχει ῥοπὴν καὶ πρὸς τὴν τῆς ἐλευθερίας πρόοδον. Ὅσοι μὲν γὰρ ψυχροὶ καὶ ἀπαθεῖς ὄντες, ἐλάχιστόν τι ἐνδομύχως ἐπαισθάνονται τῶν τε ἀγαθῶν, τῶν τε κακῶν, βραδυκινήτως διακείμενοι καὶ νωθρῶς, καὶ οἷον κεχαυνωμένοι ὑπὸ τοῦ ὄκνου καὶ τῆς ἀδιαφορίας, δυσχερῶς πάνυ οἱ τοιοῦτοι ἀποσείονται τὰ συνέχοντα καὶ συγκρατοῦντα δεσμά. Οὐδεμία μὲν οὖν παρ᾽ αὐτοῖς ἐκρήγνυται παραφορὰ καὶ ἀνόρμησις, καὶ ὅσα πάθος παράγει σφοδρὸν καὶ ἐπίφορον· οὐχ ἧττον δὲ βαρεῖα καὶ στιβαρὰ ἀνάγκη καταδεσμεύει τὴν τούτων διάνοιαν· εἰ γὰρ καὶ θυελλώδεις ἄνεμοι οὐ κλυδωνίζουσιν αὐτοὺς, ὡς ἐν γαλήνῃ καὶ νηνεμίᾳ καθεύδοντας, ὅμως οὐδ᾽ ἐνεργεῖν τι οἷοί τέ εἰσιν, δηλαδὴ οὔτε τὰ ἱστία ἀναπετάσαι, οὔτε τοῦ πηδαλίου λαβόμενοι *διακυβερνᾷν*· εὐδιαζόμενοι γὰρ ὁρμοῦσιν ἀσάλευτοι ἐπὶ τῆς φερούσης αὐτοὺς θαλάσσης, δέον μᾶλλον αὐτοὺς ἐρέσσειν καὶ



κωπηλατεῖν πρὸς τὸν ὅρμον τοῦ μέλλοντος, πρὸς ὃν καταπλέειν ὀφείλουσιν. Ἄμοιρος δὲ τῶν ἀναγκαίων ἀφορμῶν λείπεται ἡ ἐλευθερία, ὅταν μὴ παρῇ ὑποκίνησις καὶ δοκιμὴ ἐν τῷ βίῳ ἰσχυρὰ καὶ βιαία. Ὅταν γὰρ οὐδὲν τῆς καρδίας καθικνῆται, καὶ οὐδὲν αὐτὴ διαφέρῃ, τί χρὴ καὶ ἀναστέλλεσθαι καὶ ἀπέχεσθαι καὶ βουλεύεσθαι καὶ βούλεσθαι, καὶ δὴ καὶ πράττειν; Οἱ γὰρ ἄνευ παθημάτων βιοῦντες, ἢ ἐν παθήμασιν ἀψύχοις καὶ ἀβληχροῖς, οὐχ οὕτω δεξιῶς ἔχουσι πρὸς τὰς ὑψηλὰς ἀρετὰς, τὰς γενναῖον ἦθος καὶ ἀκάματον χαρακτῆρα ἀπαιτούσας. Καίτοι εἰ ἐκ τοσαύτης νωθρότητος ἀνυψωθεῖέν ποτ᾽ εἰς τοῦτο, πολλῷ μᾶλλον ἔσονται ἀξιάγαστοι οἱ τοιοῦτοι, ὡς μετὰ πλείονος ἀγῶνος καὶ μόχθου τεθριαμβευκότες τὸν ἀτηρὸν καὶ παγχάλεπον ὄκνον τὸν τὰς δυνάμεις αὐτοῖς καταδεσμεύοντα.

§. 404. Ταῦτα δέπως συμβαίνει, ἀλλ᾽ ἐξ αἰτίας πάντη διαφόρου, καὶ τοῖς ἐκ φύσεως ἢ ἕξεως οὖσιν οὕτως εὐεπιφόροις καὶ ὀξυρρόποις πρὸς τὴν ἡδονὴν ἢ τὴν λύπην, καὶ οὕτω μάλα φιλητικοῖς ἢ μισητικοῖς, ὥστ᾽ ἐν ἐλαχίστοις ἀγαθοῖς ἢ κακοῖς ἐπισυμβαίνουσιν, εἰς πάθη φέρεσθαι ὑπερβάλλοντα καὶ ἀκατάσχετα. Καὶ τούτοις γὰρ χαλεπώτατόν ἐστιν ἄρχειν καὶ κρατεῖν ἑαυτῶν· ἀνάγκαι γὰρ κατεπείγουσαι παρωθοῦσιν αὐτοὺς καὶ παραφέρουσιν, οὔτε γαλήνην οὔτε ἠρεμίαν ἔχοντας, ἀλλὰ πυρπολουμένους ὑπ᾽ ἀσβέστου πυρός. Ἵνα γὰρ τὴν ἔνδον ὑπερβάλλουσαν φλόγα καταπραΰνωσι, καὶ τὰς ἐντεῦθεν ἐκρήξεις προλάβωσιν, ἀνάγκη πᾶσα ἀτρύτους καὶ ἀπροσπελάστους μόχθους ἐν ἑαυτοῖς ὑποστῆναι, καὶ παντὶ σθένει πειράσασθαι καταστεῖλαι τὴν τῆς καρδίας ἀνάζεσιν τὴν τὰ πάνδεινα ἐπαπειλοῦσαν κακά. Ἀφόρητον δ᾽ αὐτοῖς τὸ οὕτω ταλαιπωρεῖν καὶ προσπαλαίειν· ὅτι ἀπαυδῶσι, καὶ πολλάκις ὑποκαταπίπτουσι, καὶ εἶεν ἂν ἐς τέλος ἀξιόζηλοι, εἰ διὰ τοσαύτης πείρας ἐλθόντες περιποιήσαιντο ταῖς ψυχαῖς ἑαυτῶν τὸ κράτος καὶ τὴν ἐξουσίαν, ὥστε ὁμολογουμένως διάγειν τῷ λόγῳ καὶ τοῖς παραγγέλμασι τῆς φρονήσεως. Ἡ δ᾽ οὕτω κατορθουμένη ἀρετὴ πανταχοῦ τοσούτῳ πλείονός ἐστι λόγου ἀξία, ὅσῳ ἐκ δυσκολωτέρας καὶ δυσπειθεστέρας καὶ ἀκροσφαλεστέρας ἐλευθερίας γίγνεται. Διὰ τοῦτο καὶ δικαίως θαυμάζομεν καὶ ἀγάμεθα τούτους μάλιστα τῶν ἀνδρῶν, ὅσοι ἀνε-



SISMANOGLIO MEGARO

πίληπτοι καὶ γεννάδαι ἀνεδείχθησαν, ἐκ δεσμῶν ἀπαλλαγέντες πάθους τινὸς μονονοὺκ ἀκαταμαχήτου· προσυπολογιζόμεθα γὰρ τούτοις καὶ ὅσα ἐθριάμβευσαν κατὰ τῆς φύσεως ἢ τῆς ἕξεως, καὶ χάριν ἴσμεν τοῖς οὕτως ἠνδραγαθηκόσιν, ὅτι ἐν τῷ ἰδίῳ αὐτῶν προσώπῳ ἐτίμησαν τὸ ἀνθρώπινον καὶ ἀπηλευθέρωσαν ἐκ τῆς δουλείας, ἣν ἐπέβαλλεν αὐτοῖς παγκρατὴς καὶ βαρεῖα ἀνάγκη.

§. 405. Ἐντεῦθεν ἄρα ἡ κατάστασις ἡ μᾶλλον τῇ ἐλευθερίᾳ βοηθοῦσά ἐστιν ἡ εὔστοχος σύγκρασις τῆς δραστηριότητος ἅμα καὶ τῆς ἀναστολῆς, τῆς ὁρμῆς καὶ τῆς φρονήσεως, ἡ τὴν καρδίαν ὑποκινοῦσα μὲν, ἀλλ' οὐ συνταράσσουσα· καὶ ὑποθερμαίνουσα μὲν, ἀλλ' οὐκ ἐκφλογίζουσα· ἡ οὔτε τὸ ἀδιάφορον ἀνεχομένη, οὔτε τὸ μανικὸν ἐμποιοῦσα. Οὕτω γὰρ ἡ ψυχὴ οὔτε τῇ χαυνώσει ὑπόκειται τῇ κατακοιμιζούσῃ τὴν βούλησιν, οὔτε τῇ παραφορᾷ τῇ καταῤῥασσούσῃ αὐτήν· ἀκωλύτως γὰρ ἐν οἷς παραίνει κυριαρχεῖ ἑαυτῆς, ἐμμονώτερόν τε καὶ ἀκριβέστερον ἀντέχεται τοῦ ἀγαθοῦ καὶ τῆς ἀρετῆς· τοσούτῳ γὰρ μᾶλλόν ἐστιν ὑπεύθυνος, ὅσῳ ἰσχυροτέρα ἐστὶ, καὶ ἵνα ἀξιόμισθος γένηται, ὀφείλει τι πλέον καὶ δυσχερέστερον κατορθοῦν· ὅτι ῥᾷον αὐτῇ καὶ εὐπροσιτώτερον ἀποβέβηκε τὸ καθῆκον· ὥσπερ καὶ μᾶλλόν ἐστιν ἀξιοκατάκριτος, ἐὰν ἐξολισθαίνῃ εἰς παραπτώματα, ὡς ὂν αὐτῇ εὐκοπώτερον ἐκφυγεῖν τὴν κακίαν. Τοιαύτην οὖν ἔχει τὴν ῥοπὴν καὶ ἡ πάθησις ἐπὶ τὴν βουλητικὴν δύναμιν.

§. 406. Δείξωμεν δὲ νῦν ἐν βραχυλογίᾳ τελευτῶντες, ἥν τινα ἔχει καὶ ἡ βούλησις ἐπὶ τὴν νόησίν τε καὶ τὴν πάθησιν. Ἡ γὰρ ψυχὴ ἢ ἐλευθέρα οὖσα πέφυκε διεξάγειν καὶ διακυβερνᾷν τὰς διαφόρους αὐτῆς δυνάμεις· ὅταν μὲν οὖν ἐλευθέρα ᾖ ἐν τῷ νοεῖν, διεξάγει τὴν νόησιν· ὅ ἐστιν, οὐκέτι περιορᾷ αὐτὴν ῥεμβομένην πρὸς πᾶσαν προσβολὴν, ἀλλὰ συνάγει καὶ συναθροίζει καὶ προσηλοῦσθαι αὐτὴν ποιεῖ· τοῦτο δέ ἐστι *παρατηρεῖν*, *συγκρίνειν*, *γενικεύειν* κτλ., ἢ ἄλλως εἰπεῖν, μεταβαίνειν ἀπὸ τῆς ἁπλῆς ὄψεως ἐπὶ τὴν προσεκτικὴν, καὶ ἀπὸ τῆς αὐτομάτου ἀντιλήψεως ἐπὶ τὴν σκέψιν. Ὅταν δ' ᾖ ἐλευθέρα ἐν τῷ παθαίνεσθαι, τὰ αὐτὰ δήπου συμβαίνει· κἀνταῦθα γὰρ ἄρχειν ἑαυτῆς ἀγωνίζεται· καὶ πρῶτον

SISMANOGLIO MEGARO



μὲν ἐπέχει καὶ βουλεύεται, τοῦ ὀρθοῦ λόγου ἀναπυνθανομένη, καὶ κατὰ τὴν παρ' αὐτοῦ ὁδηγίαν ἢ καταστέλλει καὶ καταπατεῖ τὰ ἀδόκιμα πάθη, ἢ ὑποθάλπει καὶ ὑποτρέφει τὰ ἀνεπίληπτα εὑρημένα. Ἐπεὶ δ' ὅλον τοῦτο τὸ κράτος λαμβάνει ἐκ τῆς φρονήσεως, τῆς φύσει δεσποζούσης τοῦ πάθους, ἀγωνίζεται τηρεῖν τὴν νόησιν ἀπηλλαγμένην πάσης πλάνης τε καὶ ἀγνοίας, ἵν' ἔχῃ κρίνειν τά τ' ἀγαθὰ καὶ τὰ κακὰ, οἷά ἐστιν ἀληθῶς, καὶ τὴν προσήκουσαν αὐτοῖς ἀπονέμειν ἀξίαν· οὕτω γὰρ αἱ τοῦ ἔρωτος ὁρμαὶ οὐκ ἔσονται ψευδεῖς καὶ διάστροφοι, ἀλλὰ καθαραὶ καὶ ἀληθεῖς καὶ σώφρονες. Τοιαύτη δή ἐστι καὶ ἡ τῆς ἐλευθερίας ἐπενέργεια εἰς ἑκατέραν τῶν τῆς ψυχῆς δυνάμεων.

§. 407. *ΣΥΜΠΕΡΑΣΜΑ ΤΟΥ ΠΡΩΤΟΥ ΒΙΒΛΙΟΥ.*— Ἐξητακότες τὴν ψυχὴν ἐν ταῖς διαφόροις αὐτῆς ἰδιότησιν, ἢ δεξιότησι καὶ δυνάμεσιν, εὐκαίρως νῦν ἔχομεν, συγκεφαλαιωσάμενοι τὰ ἐν τῷ πρώτῳ Βιβλίῳ ἀναλελυμένα, ὁρίσαι αὐτὴν, ὅτι ἐστὶ *δύναμις μία, ἁπλῆ καὶ ταυτοπρόσωπος, νοὸς καὶ ἔρωτος καὶ ἐλευθερίας εὐμοιροῦσα*. Τοιαύτη μὲν οὖν ἐστιν ἡ ψυχὴ καθ' ἑαυτὴν θεωρουμένη· ἴδωμεν δὲ νῦν τί ἐστι θεωρουμένη ἐν αἷς ἔχει σχέσεσι πρὸς ἕκαστον τῶν λοιπῶν ὄντων.

ΤΕΛΟΣ ΤΟΥ ΠΡΩΤΟΥ ΒΙΒΛΙΟΥ.

## ΔΙΟΡΘΩΣΙΣ ΤΙΝΩΝ ΠΑΡΟΡΑΜΑΤΩΝ.

| Σελ. | Στίχ. | Ἐσφαλμένα. | Διωρθωμένα. |
|---|---|---|---|
| 139. | 23. | γρηγορῶν | ἐγρηγορῶν |
| 143. | 31. | προαρχομένην | προαρχομένην, |
| 168. | 32. | διψῆ | διψῇ |
| 181. | 10. | ἐνωπελάνθανον | ἐνωπελάνθανεν |
| 189. | 10. | δημιουργεῖ | δημιουργεῖ |
| 209. | 27. | διϋπνιζομένης | διϋπνιζομένης |
| 212. | 16. | ἀδιάσειστον | εὐδιάσειστον |
| 214. | 13. | πείραν | πεῖραν |
| — | 20. | φεισσάμενος | φεισάμενος |
| 220. | 8. | πρὔκειτο | προὔκειτο |
| 228. | 31. | εὐπείθειαν | εὐπάθειαν |
| 239. | 10. | μισγάγκιια | μισγάγκεια |
| 242. | Σχ. 8. | χερὶν | χεροῖν |
| 262. | 3. | γλισχρα τινα | γλίσχρα τινὰ |

Διορθωτέον καὶ ἐν τῷ Α΄ Μέρει Σελ. 87 Στίχ. 33 τό: ἐκ γὰρ τοῦ, ὁρμωμένοις εἰς τό: ἐκ γὰρ τοῦ ὁρμωμένοις

Τοῖς μὲν συνδρομηταῖς τιμᾶται Γροσίων 6.

τοῖς δὲ μὴ . . . . . . . . . 7·

ISMANOGLIO VEGARO